48 de Delphis longius dicit Str. 9,3,2–12 (C 417,30) Agamedes et Trophonius, qui Apollinis templum aedificavisse dicuntur, passim laudantur, cf. imprimis h. Ap. 296 λάϊνον οὐδὸν ἔθηκε Τροφώνιος ἠδ᾽ Ἀγαμήδης, Charax FGrHist 103 F 5, Paus. 9,37,5 de fabula, quomodo Apollo forma delphini assumpta Cretenses in Crisaeum sinum duxerit, cf. h. Ap. 382–451; breviter Serv. Aen. 3,332, Orion 46,21 (= Sch. Lyc. 208b, p. 43–44 Leone) Δελφίνιος· ὁ Ἀπόλλων. ὅτι Κασταλίῳ τῷ κριτῇ εἰς ἀποικίαν στελλομένῳ ὁ Ἀπόλλων ὁμοιωθεὶς δελφῖνι προηγήσατο τῆς νεὼς ἕως τοῦ Κρισίου κόλπου καὶ ἐκεῖ κατοικήσας ὁ Κastάλιος οὗ ὁ υἱὸς Δέλφις ἐπεκράτησε τῶν τόπων καὶ ἀπ᾽ αὐτοῦ Δελφοὺς ἐκάλεσε τοὺς ἐνοικοῦντας καὶ Δελφινίου Ἀπόλλωνος ἱερὸν ἐνιδρύσατο. τινὲς δέ φασιν ὅτι ὁ δελφὶν εἰς τὴν ναῦν ἦλθε καὶ κατὰ τοῦτον τὸν τρόπον ἐπήδησεν εἰς θάλασσαν; EM 255,17 **49** Th. 8,38,2 οἱ δ᾽ ἐκ τῆς Λέσβου Ἀθηναῖοι ἤδη διαβεβηκότες ἐς τὴν Χίον τῇ στρατιᾷ καὶ κρατοῦντες καὶ γῆς καὶ θαλάσσης Δελφίνιον ἐτείχιζον, χωρίον ἄλλως τε ἐκ γῆς καρτερὸν καὶ λιμένας ἔχον καὶ τῆς τῶν Χίων πόλεως οὐ πολὺ ἀπέχον; cf. etiam D. S. 13,76,3 Harp. δ 20 Δελφίνιον· χωρίον ἐν Χίῳ, ὡς Θουκυδίδης η̅ (8,38,2). ἕτερον δ᾽ ἐστὶ Δελφίνιον Ἀθήνησιν ἱερὸν Ἀπόλλωνος, ἔνθα ἦν καὶ τὸ ἐν Δελφινίῳ δικαστήριον· Δημοσθένης ἐν τῷ Πρὸς Βοιωτόν (40,11), unde Phot. δ 176, Suid. δ 206 **50** Tac. ann. 4,43,1 *auditae dehinc Lacedaemoniorum et Messeniorum legationes de iure templi Dianae Limnatidis, …. contra Messenii veterem inter Herculis posteros divisionem Peloponnesi protulere, suoque regi Denthaliatem* (Nipperdey, *recident heliatem* M, *regi Dentheliatem* Lipsius) *agrum*; de eadem re cf. etiam Str. 8,4,9 (C 362,1) et Paus. 4,4,2. 31,3, qui tamen Denthalios ignorant

---

48 2 Πεντελησίων Berkel: ε̅ R, πέντε QPN τρωφωνίου R 3 δελφοῦσσα RQ: -φοῦσα PN 5 δελφῖνι RPN: δελφὶν. Q ἀπόλλων RQ: -ωνι PN 7 τὸ add. Berkel τῷ τύπῳ Ald.: τύπος RQ, τυπ (π supra scr.) P, τυπω N **49** 2 προκατελήφθη R: -είφθη QPN **50** 1 Δενθάλιοι Holste (cl. Tac. ann. 4,43,2, ubi J. Lipsius *Dentheliatem* correxerat): Δελθάνιοι RQPN περιμαχήτων R: περιμω- QPN ὑπὸ add. Billerbeck (cf. Isoc. 8,106) μεσσηνίων καὶ λακεδαιμονίων RQPN: Μεσσηνίοις καὶ Λακεδαιμονίοις Holste, quem sequitur Meineke „nisi forte post Λακεδαιμονίων excidit aliquid" τὸ om. RQ **51** 1 Δεξαμενοῦ Meineke: -μένου RQPN τοῦ μεσόλου RP(τοῦ μεσ alt. m.)N: spat. 4–5 litt. (in lineae fine) όλου Q

48. Delphoi, Stadt am Parnass <gelegen>, zu Phokis <gehörend>,[49] wo sich der Tempel <des Apollon> befindet, aus Pentelischem Marmor erbaut, ein Werk des Agamedes und des Trophonios. Es gibt auch eine Ortsquelle <namens> Delphussa.[50] Das Ethnikon <hat im Plural> dieselbe Form wie <der Name> der Stadt. Das Femininum <lautet> Delphidin. Und für das Ktetikon <sagt man> delphisch. Delphoi heisst <der Ort deswegen>, weil Apollon in Gestalt eines Delphins <mit den Kretern> zur See gefahren war; und Apollon errichtete sich <dort> ein Heiligtum.[51] Zudem gibt es eine Stadt Delphusia in Arkadien, wie Androtion im zweiten Buch der *Atthis* (FGrHist 324 F 7) <vermerkt>.[52] Das <entsprechende> Ethnikon <lautet> Delphusiat, nach dem Landesbrauch.

49. Delphinion, Festung <auf der Insel> der Chier, wie Thukydides im achten Buch (8,38,2; 8,40,3) <angibt>.[53] Das Ethnikon <lautet> Delphinier (der Ableitungstypus für das Ethnikon ist nämlich <im Stammwort> vorgegeben) oder Delphinieer.[54]

50. Denthalioi, eine der Städte, welche zwischen den Messeniern und Lakedaimoniern strittig waren. Das Ethnikon ist <im Plural> dasselbe <wie der Name der Stadt>.

51. Dexamenai, Teil von Ambrakia,[55] nach Dexamenos <benannt>, dem Sohn des Mesolos und der Ambrakia, der Tochter des Phorbas, des Sohnes von Helios. Das Ethnikon <lautet> Dexamenaier, wie Aristoteles in der *Politeia der Ambrakioten* (fr. 477 Rose = fr. 481,1 Gigon) sagt.

---

[49] Inventory Nr. 177; ausführlich Rousset, Le territoire de Delphes.

[50] Gemeint ist die Quelle Telphusa, von welcher im homerischen Apollon-Hymnus ausführlich die Rede ist. Die dort handschriftlich weit verbreitete Schreibung mit δ anstatt τ (vv. 244, 247, 276) soll, wie hier bei Stephanos, die Verbindung mit dem Toponym herstellen; s. T.W. Allen/W.R. Halliday/E.E. Sikes, The Homeric hymns (Oxford ²1963) 239, mit Hinweis auf P. Kretschmer, Kuhn's Zeitschrift 33 (1895) 467 ff. über den Austausch von τ/δ. Dass der Name der Quelle bzw. der eponymen Nymphe stark schwankte, ergibt sich aus der Diskussion im Artikel Τέλφουσα (613,10).

[51] Hauptquelle der aitiologischen Sage (Ἀπόλλων Δελφίνιος) ist der homerische Apollon-Hymnus, 382 ff. Ob Stephanos hier direkt auf ihn zurückgegriffen hat oder einer zusammenfassenden Zwischenvorlage folgte, ist nicht mehr auszumachen. Das letztere dürfte wahrscheinlicher sein, vgl. Similia; Plu. Moralia 984a spricht in diesem Zusammenhang von μυθογράφοι. Die Hss RQ haben mit dem Nominativ Ἀπόλλων die sagenkonforme Version behalten, nach welcher der Gott selbst sich bei der Quelle Telphusa einen Altar errichtet hatte, h. Ap. 384 βωμὸν ποιήσατ' ἐν ἄλσει, während PN mit ἵδρυται Ἀπόλλωνι ἱερόν trivialisieren.

[52] Identisch mit θ 3 Θάλπουσα, s. ad loc.

[53] Inventory S. 1059.

[54] Im Licht von Harp. δ 20 und den byzantinischen Lexika (s. Similia) ist Textverlust (Hinweis auf den athenischen Tempel des Apollon Delphinios) infolge Epitomierung nicht auszuschliessen.

[55] Es ist unklar, ob es sich um einen Stadtteil handelt oder einen Bezirk des Umlandes. Der Artikel Ἀμβρακία (α 265) gibt nichts aus; vgl. jedoch EM 81,3 Ἀμβρακία· πόλις Ἠπείρου· ἀφ' ἧς ἐκλήθη ἡ χώρα Ἀμβρακία.

52 Δεξάροι· ἔθνος Χαόνων, τοῖς Ἐγχελέαις προσεχεῖς, Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 103). ὑπὸ Ἄμηρον ὄρος οἰκοῦν.

53 Δέρα· τόπος Λακωνικῆς. τὸ ἐθνικὸν Δεραῖος ἢ Δερεάτης, ἀφ' οὗ Δερεάτιδος Ἀρτέμιδος ἱερόν. καὶ τὸν δῆμον δὲ Δειράδας φασὶ καὶ τοὺς δημότας Δειραδιώτας, ἀπό τινος ἥρωος.

54 Δέρβη· φρούριον Ἰσαυρίας καὶ λιμήν. ὁ κατοικῶν Δερβήτης ὡς Σιδήτης Πυλήτης. λέγεται δ' ἴσως καὶ Δέρβεια καὶ τὸ ἐθνικὸν Δερβείτης. Καπίτων (FGrHist 750 F 16) δὲ Δέρμην φησί. τινὲς δὲ Δέλβειαν, ὅ ἐστι τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθος. καὶ Ἀρκεύθη ἡ πόλις.

226 **55 Δερβίκκαι·** ἔθνος πλησίον τῶν Ὑρκανῶν. Ἀπολλώνιος (FGrHist 244 F 311) δὲ δὶς τὸ κ γράφει. Κτησίας (FGrHist 688 F 43) δὲ Δερβισσοὺς αὐτούς φησιν ἢ Τερβισσούς.

56 Δέραια· πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν Δεραιεύς ὡς Ἡραιεύς. Ἀρκαδίας γὰρ ἀμφότερα.

---

52 montis Ameri mentionem faciunt Theognost. An. Ox. 2,131,10 Ἄμηρον, ὄνομα ὄρους, Et. Gen. α 647 „τὸ Ἄμηρον“ οὐδετέρως. ἔστιν ὄνομα ὄρους (= EM 83,18; ex Oro?) **53** Paus. 4,15,4 τότε δὲ οἱ Μεσσήνιοι Λακεδαιμονίοις συμβάλλουσιν ἐν Δέραις καλουμέναις τῆς σφετέρας Paus. 3,20,7 τοῦτό τε οὖν τὸ Λαπίθαιόν ἐστιν ἐν τῷ Ταϋγέτῳ καὶ οὐ πόρρω Δέρειον, ἔνθα Ἀρτέμιδος ἄγαλμα ἐν ὑπαίθρῳ Δερεάτιδος; Hsch. κ 379 IG V 1,1429,2 κατὰ Δέραν; cf. etiam SEG 41 (1991) Nr. 325 **54** St. Byz. α 1 Δέρβη γὰρ φρούριον Ἰσαυρίας, τὸ δὲ ἐθνικὸν Δερβήτης καὶ Δερβαῖος, ὡς Σιδήτης καὶ Πυλήτης, ὡς δειχθήσεται, ἀπὸ τοῦ Σίδη καὶ Πύλη Str. 12,6,3 (C 569,3) Τῆς δ' Ἰσαυρικῆς ἐστιν ἐν πλευραῖς ἡ Δέρβη, … τὸ τοῦ Ἀντιπάτρου τυραννεῖον τοῦ Δερβήτου Ptol. Geog. 5,6,17 (5,6,16) <Στρατηγίας> Ἀντιοχειανῆς· Δέρβη Suid. δ 260 Δέρμη **55** Str. 11,8,8–11,11,8 (C 514,6), qui tamen Δέρβικες praebet Δερβίκκαι apud Ptol. Geog. 6,10,2; Ael. VH 4,1 in Ctesiae excerptis Δέρβικες appellantur, FGrHist 688 F 1b, 2,3; F 9,7; Mela 3,39 *Derbices*

---

52 1 Δεξάροι RQPN: Δέξαροι Meineke (cf. Hdn. 1,194,12) **53** 1 Δέρα Meineke: Δέρρα RQPN δεραῖος RQP: δερρ- N δερεάτης RQP: δερρ- N 2 φασί PN: φησί RQ **54** 2 δέρβεια QPN: δέρβειον R 3 καπείτων Q δέρμην RQP: -βην N 4 ἀρκεύθη PN: -εύθης RQ **55** 1 Δερβίκκαι Salmasius: Δελβίκκαι RQPN 2 κ R: κκ QPN γράφει N: καλῶς γράφει RQP, κακῶς γράφει Meineke 1 Δερβισσοὺς Salmasius: δερβίους RQPN **56** Δέραια Lobeck (Paralip. 27): δέρεα RQPN δεραιεύς R: δερεεύς QPN

52. Dexarer, Volk der Chaonen, Anrainer der Encheleer; Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 103). Ansässig ist es am Fuss des Berges Ameron.[56]

53. Dera, Ort in Lakonien. Das Ethnikon <lautet> Deraier oder Dereat; davon kommt das Heiligtum der Artemis Dereatis. Ferner nennt man den Demos Deirades und die Demoten Deiradioten, <nämlich> nach dem entsprechenden Heros.[57]

54. Derbe, Kastell und Hafen <an der Küste> von Isaurien.[58] Der Bewohner <heisst> Derbet, <gebildet> wie Sidet <und> Pylet. Man sagt vielleicht auch Derbeia mit dem Ethnikon Derbeit. Kapiton (FGrHist 750 F 16) nennt <die Örtlichkeit> jedoch Derme. Und gewisse Leute <sprechen von> Delbeia, was in der Sprache der Lykaonen soviel wie Wacholder bedeutet. Entsprechend <heisst> die Stadt auch Arkeuthe.

55. Derbikker, Volk in der Nachbarschaft der Hyrkaner. Apollonios (FGrHist 244 F 311) schreibt <den Namen> jedoch zweimal mit <nur> einem κ.[59] Ktesias (FGrHist 688 F 43) seinerseits nennt sie Derbisser oder Terbisser.

56. Deraia, Stadt in Arkadien. Das Ethnikon <lautet> Deraieer, <gebildet> wie Heraieer, denn in beiden Fällen <handelt es sich um Toponyme> Arkadiens.[60]

---

[56] Im Licht der Similia erübrigt sich Holstes Konjektur Ἄμυρον (aus α 287, gefolgt von Meineke und Jacoby), zumal sie vom geographischen Standpunkt aus problematisch ist.

[57] Der Artikel bereitet einige Schwierigkeiten. Während der lakonische Ort wohl identisch ist mit dem von Pausanias (4,15,4 und 7) erwähnten messenischen Δέραι, lokalisiert dieser das Heiligtum der Artemis Dereatis im lakonischen Δέρειον (3,20,7). Von einem lakonischen, bzw. messenischen Demos, der gleichlautend mit dem athenischen (s. oben δ 41) Δειράδες heisst, ist nichts bekannt. Hingegen erwähnt der Perieget das Heiligtum des Ἀπόλλων Δειραδιώτης, welches im argivischen Δειράς liegt (2,24,1. 25,1 und 4). Da diese Epiklese mit dem athenischen Demotikon lautlich übereinstimmt, könnte die ursprüngliche Fassung unseres Artikels eine diesbezügliche Diskussion enthalten haben; eine vage Spur davon mag sich hinter der Verbform φησί (RQ) verbergen, welche PN angesichts eines fehlenden Subjekts zu φασί verallgemeinert hätten.

[58] Zgusta, Kleinasiatische Ortsnamen § 253.

[59] Offensichtlich liegt, wie St. Byz. 429,6, Verwechslung mit dem Chronographen Apollodor vor (unter dessen Namen Jacoby das Fragment aufgenommen hat), wo im iambischen Werk metrische Gründe für die Schreibweise mit einfachem κ ausschlaggebend waren. An καλῶς hat Meineke Anstoss genommen und ursprüngliches κακῶς vermutet. Eine Formulierung wie οὐ καλῶς ist nicht ausgeschlossen (cf. St. Byz. 92,11). Dass es sich jedoch um eine Interpolation handelt, ist wahrscheinlicher; entsprechend tilgte N den Zusatz.

[60] Der Ort ist unbekannt. Lobecks Verbesserung Δέραια (Paralipomena 27) ergibt sich nicht bloss aus dem zu Ἡραιεύς analogen und allein in R richtig überlieferten Ethnikon Δεραιεύς, sondern steht auch in Übereinstimmung mit den arkadischen Ortsnamen Δίπαια (δ 97) und Εὔταια (ε 173). Zusammen mit den Ortsnamen auf -εια bilden sie die Ethnika (auf -ευς) nach dem sog. arkadischen Typus, vgl. α 290 (Ἄμφεια) mit Anm. 413. Die alternative Bildung auf -της, wie sie Meineke an unserer Stelle ergänzen will („mihi gentile Δερειάτης excidisse videtur"), drängt sich jedoch nicht auf. Von den untersuchten Ortsnamen (Θώκνεια, Παρώρεια, Φορίεια und Φιγάλεια) erwähnt Stephanos nur beim letzten die Alternativbildungen, 664,12 Φιγαλεύς καὶ Φιγαλείτης.

57 Δερραῖοι· Θρᾴκιον ἔθνος. Ἡρόδοτος (7,110) Δερσαίους αὐτούς φησι.

58 Δέρτων· πόλις Λιγύρων. Ἀρτεμίδωρος ἐν ἐπιτομῇ τῶν ια̅ (Epit. fr. 4 Stiehle) „τὴν καλουμένην Δερτῶνα πόλιν“. τὸ ἐθνικὸν Δερτώνιος ὡς Ἀντρώνιος.

59 Δηλία· πόλις Καρίας. τὸ ἐθνικὸν Δηλιεύς τῷ τῶν Καρικῶν λόγῳ.

60 Δήλιον· πολίχνιον Βοιωτίας ἐν τῇ Ταναγραίᾳ καὶ ἱερὸν Ἀπόλλωνος. τὸ ἐθνικὸν Δηλιεύς ὡς Σουνιεύς.

---

57 Th. 2,101,3 ἐφοβήθησαν δὲ καὶ οἱ πέραν Στρυμόνος πρὸς βορέαν Θρᾷκες, ὅσοι πεδία εἶχον, Παναῖοι καὶ Ὀδόμαντοι καὶ Δρῶοι καὶ Δερσαῖοι· αὐτόνομοι δ' εἰσὶ πάντες Theognost. An. Ox. 2,53,12 Τὰ διὰ τοῦ αιος προπερισπώμενα, ἔχοντα πρὸ τῆς αι ἕν τι τῶν διπλῶν, ἢ τὸ σ διὰ τῆς αι διφθόγγου γράφονται· κολαξαῖος· Γαζαῖος· … Δερσαῖος ὄνομα ἔθνους **58** Str. 5,1,11 (C 217,8) Δέρθων … πόλις ἀξιόλογος κειμένη κατὰ μέσην τὴν ὁδὸν τὴν ἀπὸ Γενούας εἰς Πλακεντίαν, ἑκατέρας διέχουσα σταδίους τετρακοσίους Ptol. Geog. 3,1,35 (3,1,31) Ταυρινῶν … Δερτῶνα, Plin. nat. 3,49 *Dertona* **60** Th. 4,76,4 τοὺς δὲ Ἀθηναίους ἔδει Δήλιον καταλαβεῖν τὸ ἐν τῇ Ταναγραίᾳ πρὸς Εὔβοιαν τετραμμένον Ἀπόλλωνος ἱερόν, Str. 9,2,7 (C 403,15) εἶτα Δήλιον (codd., <, οὗ> Holwerda et Radt) τὸ ἱερὸν τοῦ Ἀπόλλωνος ἐκ Δήλου ἀφιδρυμένον, Ταναγραίων πολίχνιον Αὐλίδος διέχον σταδίους τριάκοντα, Paus. 9,20,1 ἔστι δὲ τῆς Ταναγραίας ἐπὶ θαλάσσῃ καλούμενον Δήλιον

---

57 1 Δερραῖοι Meineke (mon. Xylander Δεραῖοι): Δερρᾶν RQPN **58** 1 Δέρτων RQPN: Δερτών Berkel Λιγύρων Meineke: -γυρῶν RQPN 2 Δερτῶνα Cluverius (Italia ant. [1659] p. 58): δέρτουνα RQPN **59** τῷ τῶν καρικῶν λόγῳ R: τῷ λόγῳ τῶν καρικῶν QPN **60** 1 τῇ Ταναγραίᾳ Billerbeck (e Th. et Paus.): τῇ τανάγρᾳ RQP, τανάγρᾳ N

57. Derrhaier, thrakisches Volk. Herodot (7,110) nennt sie Dersaier.

58. Derton (Tortona), Stadt der Ligurer. Artemidor <erwähnt> in der Epitome der elf Bücher <*Geographumena*> (Epit. fr. 4 Stiehle) „die Stadt, welche Derton heisst". Das Ethnikon <lautet> Dertonier, <gebildet> wie Antronier.

59. Delia, Stadt in Karien. Das Ethnikon <lautet> nach Ableitungsweise der karischsprachigen Delieer.[61]

60. Delion, Kleinstädtchen in Boiotien, in der Tanagraia, und Apollon-Heiligtum.[62] Das Ethnikon <lautet> Delieer, <gebildet> wie Sunieer.

---

61 Zgusta, Kleinasiatische Ortsnamen § 257–1. Die Wortstellung τῷ λόγῳ τῶν Καρικῶν (QPN) findet sich bereits in α 83; aber Hyperbaton begegnet auch 689,4 τῷ μὲν τῆς τέχνης λόγῳ.

62 Inventory S. 433. Die genaue Vorlage des Stephanos ist nicht auszumachen; die Bestimmung πολίχνιον mag auf Strabon verweisen (wenn das zutrifft, rät die Fassung bei Stephanos davon ab, mit Holwerda und Radt ein lokales Relativum οὗ vor ἱερόν zu ergänzen). Dass N vor Τανάγρᾳ den Artikel fallen liess, könnte mehr als blosser Zufall sein und Unbehagen mit dem Ausdruck verraten. Im Licht von Thukydides und Pausanias, welche das bekannte Heiligtum in der Chora von Tanagra (Ταναγραίᾳ) lokalisieren, sowie der Genitivkonstruktion bei Strabon (Ταναγραίων πολίχνιον) scheint sich die leichte Verbesserung der Paradosis Τανάγρᾳ zu ursprünglichem Ταναγραίᾳ aufzudrängen.

61 Δῆλος· νῆσος μία τῶν Κυκλάδων. „Δῆλον ἐκυκλώσαντο καὶ οὔνομα Κυκλάδες εἰσίν“ (D. P. 526). ἢ παρὰ τὰς γονὰς {ἢ μαντείας}. ἱερὸν γὰρ Δῆλος τοῦ Ἀπόλλωνος, τοῦ θεοῦ πρῶτον ἐν αὐτῇ γενομένου. ἢ διὰ τὰς μαντείας, δηλοῦσα γὰρ ἦν τὰ δυσεύρετα. ἐκαλεῖτο δὲ Κύνθος ἀπὸ
227 Κύνθου τοῦ Ὠκεανοῦ, καὶ Ἀπόλλων Κύνθιος. καὶ Ἀστερία καὶ Πελασγία καὶ Χλαμυδία. τινὲς δὲ ὅτι Ζάκυνθος ἐκαλεῖτο, κακῶς εἰδότες. κεκλῆσθαι δὲ αὐτὴν καὶ Σκυθίδα Νικάνωρ (FHG III 633 F 11) φησίν. ἐξ αὐτοῦ Δήλιος καὶ Δηλία καὶ Δηλιάς. καὶ Δηλιαστής ὁ εἰς Δῆλον ἐρχόμενος χορός, Καλλίμαχος γ̄ (fr. 71 Pfeiffer). καὶ Δηλιακός τὸ κτητικόν.

---

61 EM 264,22 Δῆλος· ἡ ἱέρεια τοῦ Ἀπόλλωνος, εἴρηται ὅτι κρυπτομένην αὐτὴν ἐν τῇ θαλάσσῃ ὁ Ζεὺς δήλην ἐποίησε, καὶ ἀνέδωκεν, ἵνα ᾖ Λητῶ de Delo copiose disserit Str. 10,5,1–5 (C 485,1) Eust. D. P. 525 (p. 317,39) αἱ νῆσοι αἳ τὴν Δῆλον ἐκυκλώσαντο, καὶ δι᾽ αὐτὸ οὔνομα Κυκλάδες εἰσί. καὶ ἔστι τοῦτο ἐτυμολογία τοῦ ὀνόματος τῶν Κυκλάδων. ᾄδεται δὲ πάνυ ἐν ταῖς ἱστορίαις ἡ Δῆλος, ὡς Ἀπόλλωνος ἱερὰ, οὗ καὶ μαντεῖον ἦν ἐκεῖ περιφανές. ἐκαλεῖτο δέ ποτε καὶ Ὀρτυγία, ὡς ὁ Γεωγράφος (Str. 10,5,5 [C 486,18]) φησί … Ἀρριανὸς (FGrHist 156 F 69 = Bith. fr. 60 Roos) δὲ περὶ ταύτης φησὶν, ὅτι Δῆλος ἡ πάλαι πλωτὴ οὖσα ἔστη, ὅτε ἡ Λητὼ ἐπέβη αὐτῆς διδύμους ἔχουσα παῖδας. καὶ ἄλλοι δὲ συντερατευόμενοι αὐτῷ φασι Δῆλον αὐτὴν κληθῆναι, διότι φερομένη ποτὲ ὑπὸ θάλασσαν ἀνέσχεν ὕστερον κάτωθεν, ὡς καὶ ἄλλαι τινὲς, καὶ ἐξ ἀδήλου βάσεως ἐρριζώθη στηριχθεῖσα … (318,36) ἡ Δῆλος, οὕτω λεγομένη ἢ διὰ τὴν θρυλουμένην μυθώδη αἰτίαν, ὅτι ὑπὸ θάλασσαν, ὡς ἐρρέθη, οὖσα πρώην, ὕστερον φανεῖσα ἐδηλώθη, ἢ διὰ τὰς ἐν αὐτῇ μαντείας, ἐξ ὧν ἐδηλοῦτο τὰ δυσεύρετα varia insulae nomina passim afferuntur, e.g.: Ἀστερία Pi. fr. 52e,38–42, Call. Del. 36–40; Sch. A. R. 1,308a Δῆλος μία τῶν Κυκλάδων νήσων, ἱερὰ Ἀπόλλωνος, ἣ πρὶν μὲν ἄδηλος, ὕστερον δὲ Ἀστερία διὰ τὸ σχῆμα, πάλιν δὲ Ὀρτυγία ἀπὸ τῆς ἀδελφῆς τῆς Λητοῦς Κύνθος St. Byz. 393,15 (ex Antim. fr. 12, ubi vide Matthews, p. 106–107) Plin. nat. 4,66 *longe clarissima et Cycladum media ac templo Apollinis et mercatu celebrata Delos … . Aglaosthenes Cynthiam, alii Ortygiam, Asteriam, Lagiam, Chlamydiam, Cynethum, Pyrpylen igne ibi primum reperto. cingitur V passuum, adsurgit Cynthio monte*; Sol. 11,18 *Delon ante omnes terras radiis solis inluminatam, sortitamque ex eo nomen, quod prima reddita foret visibus …* (19) *eadem est Ortygia quae clarissima in Cycladum numero multifarie traditur: nunc Asteria a cultu Apollinis: nunc a venatibus Lagia vel Cynetho: Pyrpile etiam, quoniam et ignitabula ibi et ignis inventa sunt* Deliades laudantur apud h. Ap. 157, E. HF 687, Call. Del. 256. 296. 323

---

61 2 παρὰ RPN: περὶ Q ἢ μαντείας secl. Holste 3 γὰρ om. N 4 κύνθος PN: κῦνθος RQ 6 καὶ χλαμυδία RP^pc^(καὶ ab alt. m. in spat.)N: καὶ ante χλαμυδία lac. indic. om. Q κακῶς RP^pc^(-ακῶς ab alt. m. in spat.)N: κ cum spat. 4–5 litt. Q 7 σκυθίδα R: σκυθιάδα QPN 8 Δηλιαστής Berkel: δηλίτης RQPN

61. Delos, eine der Kykladeninseln.[63] „Sie (d. h. die umliegenden Inseln) bildeten einen Kreis um Delos und heissen <deshalb> Kykladen“ (D. P. 526). <Den Namen hat die Insel> entweder wegen der Geburt <der Letokinder>;[64] Delos ist nämlich dem Apollon geweiht, dem Gott, der zuerst (d. h. vor Artemis) auf ihr geboren wurde. Oder <sie hat den Namen Delos>, weil sie durch Orakelsprüche zu offenbaren (δηλοῦσα) pflegte, was man nicht leicht herausfinden kann. Kynthos hiess sie nach <dem gleichnamigen> Kynthos, dem Sohn des Okeanos; und <deswegen heisst> Apollon <mit Beinamen> Kynthios. Asteria und Pelasgia und Chlamydia <sind weitere Namen für sie>. Einige <behaupten> sogar, dass <Delos> Zakynthos geheissen habe, wobei sie <jedoch> schlecht unterrichtet sind. Nikanor sagt <in seiner Schrift über Umbenennungen> (FHG III 633 F 11), die Insel habe auch Skythis geheissen. Vom <Stammwort> Delos abgeleitet <sind das Ethnikon> Delier sowie <die beiden Feminina> Delierin und Deliadin. Ferner gibt es den Deliasten-Chor, welcher <in der Festgesandtschaft> nach Delos geht, <so> Kallimachos im dritten Buch <der *Aitia*> (fr. 71 Pfeiffer).[65] Und delisch <lautet> das Ktetikon.

---

[63] Inventory Nr. 478.

[64] Vgl. EM 264,23 ὁ Ζεὺς δήλην (sc. τὴν νῆσον) ἐποίησε.

[65] Dass das unbelegte Ethnikon Δελίτης nicht richtig sein kann, hat Berkel als erster gesehen. Wie die Erklärung zeigt, geht es um die Festgesandtschaft, die Δελιασταί (Harp. δ 26 = Lycurg. 14 fr. 7 Conomis; Hsch. δ 809, usw.), welche mit Frauen, Kindern und Chören nach Delphi strömen, vgl. Th. 3,104,3; Nilsson, Griechische Feste 144–149. Dass dieses Fest im 3. Buch der *Aitia* den Hintergrund bildet für die Geschichte von Akontios und Kydippe, ist unbestritten, s. Pfeiffer ad loc. Im Gegensatz zum Hinweis auf den Mädchenchor der Deliaden (Δηλιάς) kann aber schon aus metrischen Gründen weder Δηλίτης noch Δηλιαστής direktes Zitat des Kallimachos sein. Für einen ähnlichen Überlieferungsfehler vgl. St. Byz. 598,16 Ταιναρισταί/Ταιναρῖται (RQPN); dazu s. Billerbeck, The Orus fragments (ad F 9).

62 Δημητριάς· πόλις Θεσσαλίας, ἀπὸ Δημητρίου βασιλεύσαντος, <ὃς> καὶ τὰς ὑπὸ τὸ Πήλιον κειμένας πόλεις κατέσκαψε. κεῖται δὲ πρὸς τῷ Παγασητικῷ κόλπῳ {ἐν μέσῳ Εὐβοίας καὶ τῆς Φωκίδος}. β̅ Make-
10 δονίας. γ̅ Περσίδος πρὸς Ἀρβήλῳ. τὸ ἐθνικὸν Δημητριεύς, ὡς τὸ Ἀφροδισιεύς Ὀρθωσιεύς.

63 Δημήτριον· τόπος περὶ Θεσσαλίαν περὶ τὸ Κροκωτὸν πεδίον κείμενος παρὰ τὸν Ἄμφρυσον. ἔστι καὶ πόλις Αἰολίδος. ὁ πολίτης Δημητριεύς ὡς Δουλιχιεύς.

14 **64 Δημόνησος**· περὶ Χαλκηδόνα νῆσος, ἀπὸ Δημονήσου τινός. ἔχει
228 δ' ὁ τόπος κυανοῦ μέταλλον καὶ χρυσοκόλλης. καὶ χρυσίον εὑρίσκεται τίμιον, ὀφθαλμῶν τε φάρμακόν ἐστιν. ὁ νησιώτης Δημονήσιος.

---

62 de Thessaliae urbe Str. 9,5,15 (C 436,10) τῆς δὲ Δημητριάδος ἑπτὰ σταδίους ὑπέρκειται <ἀπὸ> τῆς θαλάττης Ἰωλκός. ἔκτισε δὲ Δημήτριος ὁ Πολιορκητὴς ἐπώνυμον ἑαυτοῦ τὴν Δημητριάδα μεταξὺ Νηλείας καὶ Παγασῶν ἐπὶ θαλάττῃ τὰς πλησίον πολίχνας εἰς αὐτὴν συνοικίσας, Νήλειάν τε καὶ Παγασὰς καὶ Ὀρμένιον, ἔτι δὲ Ῥιζοῦντα ***, Σηπιάδα, Ὀλιζῶνα, Βοίβην, Ἰωλκόν, αἳ δὴ νῦν εἰσι κῶμαι τῆς Δημητριάδος. καὶ δὴ καὶ ναύσταθμον ἦν τοῦτο καὶ βασίλειον μέχρι πολλοῦ τοῖς βασιλεῦσι τῶν Μακεδόνων, ἐπεκράτει δὲ καὶ τῶν Τεμπῶν καὶ τῶν ὀρῶν ἀμφοῖν, <καθά>περ εἴρηται (C 428,34), τοῦ τε Πηλίου καὶ τῆς Ὄσσης· νῦν δὲ συνέσταλται μέν, τῶν δ' ἐν τῇ Μαγνησίᾳ πασῶν ὅμως διαφέρει; Str. 9,5,18 (C 438,26) Ὀρμένιον … κώμη … τῶν συνῳκισμένων εἰς τὴν Δημητριάδα πόλεων, ὡς εἴρηται (C 436,11) de urbe, quae Macedonum esse dicitur, cf. D. S. 31,8,6 συνεῖδον τὰ τείχη Δημητριάδος πόλεως Μακεδόνων πρώτης de urbe in Assyria sita Str. 16,1,4 (C 738,1) περὶ Ἄρβηλα δέ ἐστι καὶ Δημητριὰς πόλις **63** Str. 9,5,14 (C 435,26) καὶ Ἅλος δὲ καὶ Λάρισα ἡ Κρεμαστὴ καὶ τὸ Δημήτριον ὑπ' ἐκείνῳ (sc. Protesilao), πᾶσαι πρὸς ἕω τῆς Ὄθρυος. τὸ δὲ Δημήτριον ‚Δήμητρος' εἴρηκε ‚τέμενος' καὶ ἐκάλεσε Πύρασον (B 695–96). ἦν δὲ πόλις εὐλίμενος ἡ Πύρασος ἐν δυσὶ σταδίοις ἔχουσα Δήμητρος ἄλσος καὶ ἱερὸν ἅγιον, διέχουσα Θηβῶν σταδίους εἴκοσι. ὑπέρκεινται δὲ Πυράσου μὲν αἱ Θῆβαι, τῶν Θηβῶν δ' ἐν τῇ μεσογαίᾳ τὸ Κρόκιον πεδίον πρὸς τῷ καταλήγοντι τῆς Ὄθρυος, δι' οὗ ὁ Ἄμφρυσος ῥεῖ **64** Ps.-Arist. Mir. 834b18 = 58 Giannini Δημόνησος ἡ Καλχηδονίων (edd. recc., Καρχηδονίων codd.) νῆσος ἀπὸ Δημονήσου τοῦ πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν· ἔχει δ' ὁ τόπος κυάνου τὸ μέταλλον καὶ χρυσοκόλλης. ταύτης δ' ἡ καλλίστη πρὸς χρυσίον εὑρίσκει τιμήν· καὶ γὰρ φάρμακον ὀφθαλμῶν ἐστιν. ἔστι δὲ αὐτόθι χαλκὸς κολυμβητὴς ἐν δυοῖν ὀργυιαῖς τῆς θαλάσσης· ὅθεν ὁ ἐν Σικυῶνί ἐστιν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ νεῷ τοῦ Ἀπόλλωνος καὶ ἐν Φενεῷ οἱ ὀρείχαλκοι καλούμενοι. ἐπιγέγραπται δ' αὐτοῖς „Ἡρακλῆς Ἀμφιτρύωνος Ἦλιν ἑλὼν ἀνέθηκεν"· αἱρεῖ δὲ τὴν Ἦλιν, ἡγουμένης κατὰ χρησμὸν γυναικός, ἧς τὸν πατέρα Αὐγείαν ἀπέκτεινεν. οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες φύουσι· παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς, cf. Thphr. Lap. 25 et 39 cf. etiam Hsch. δ 870

---

62 2 ὃς add. Holste 3 παγασητικῶ RPN (cf. St. Byz. 149,8): -σιτικῶ Q ἐν μέσῳ – Φωκίδος del. Meineke (ad geographicum situm non quadrat) 4 ἀρβήλῳ RQPN: Ἀρβήλοις Berkel (cf. St. Byz. α 389) **63** 2 παρὰ V(per comp.): περὶ RQPN **64** 1 Δδημόνησος Q παρὰ R 2 χρυσοκόλλης Salmasius: -κάλλης RQPN

62. Demetrias, Stadt in Thessalien, nach Demetrios, dem Gewaltherrscher (Poliorketes) <benannt>; dieser hatte auch die am Fuss des Pelion gelegenen Städte niederreissen lassen. Sie ist am Golf von Pagasai gelegen. Ein zweites <Demetrias gehört zu> Makedonien; eine dritte <Stadt dieses Namens liegt> im persischen Reich, nahe bei Arbela. Das Ethnikon <lautet> Demetrieer, <gebildet> wie Aphrodisieer <und> Orthosieer.[66]

63. Demetrion, Ort bei Thessalien,[67] bei der Krokoton-Ebene, am <Fluss> Amphrysos gelegen. Es gibt auch eine Stadt <namens Demetrion> in der Aiolis.[68] Der Bürger <heisst> Demetrieer, wie <man zu Dulichion> Dulichieer <bildet>.

64. Demonesos, Insel nahe bei <der Stadt> Chalkedon, nach einem gewissen Demonesos <benannt>. Der Ort hat Vorkommen an Lapislazuli und Malachit. Ausserdem findet man wertvolles Golderz, welches als Heilmittel für Augenleiden dient. Der Inselbewohner <heisst> Demonesier.

---

[66] Dazu s. Fraser, Ethnic terminology 351–353.
[67] Inventory Nr. 442.
[68] Identifikation mit der bithynischen Stadt Demetrion (RE IV 2,2767 Nr. 2) ist fraglich.

65 Δῆμος· παρ' Ἀθηναίοις ἡ κώμη καὶ ἡ τοῦ πλήθους συλλογή. καὶ τὸν ἕνα δημότην „οὐ μὲν ἔοικε | δῆμον ἐόντα“ (Μ 211–12). καὶ τὸν τόπον „δήμῳ ἐνὶ Τρώων“ (*ν* 266). καὶ τὸ κατὰ πόλιν πλῆθος ἐν τοῖς ἀρίστοις „εὐνήν τ' αἰδομένη πόσιος δήμοιό τε φήμην“ (*π* 75). καὶ τὸ Ἑλλήνων πλῆθος ἔξω τῆς ἰδίας χώρας <***> „θεὸς δ' ὣς τίετο δήμῳ“ (Ν 218). καὶ τὸ ὅλον ἔθνος. καὶ τόπος ἐν Ἰθάκῃ ὃς καὶ Κροκύλειον. καὶ τὸ πᾶν <πλῆθος>, ὡς ἐν Σφηξί (Ar. V. 41) „τὸν δῆμον ἡμῶν βούλεται διιστάνειν“. ὁ οἰκήτωρ δημότης, ἀφ' οὗ δημόσιος, καὶ δημοτεύομαι ἀντὶ τοῦ οἰκῶ. καὶ δήμιος, καὶ δημότερος συγκριτικόν, οὐκ ἀποκοπῇ, ἀλλ' ἐκ τοῦ θετικοῦ τοῦ „δῆμον ἐόντα παρὲξ ἀγορευέμεν“ (Μ 212). καὶ δημοτικός καὶ δημοτικώτερος, καὶ δημαγωγός ὁ προεστηκὼς δήμου, καὶ δημοποίητος ὁ εἰσπεποιημένος δημότης ἐξ ἑτέρου τινὸς εὐεργεσίας. καὶ σύνθετα, δημήλατος – Αἰσχύλος Ἱκετίσιν (614) „ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ“ – ὁ ἀπὸ τοῦ δήμου ἐλαθείς. καὶ δημιόπρατον Ἀριστοφάνης Ἱππεῦσιν (103) „ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος“.

66 Δηρά· <πόλις> τῆς Ἰβηρίας, ἧς ὁ Σικανὸς ποταμός. οἱ οἰκήτορες Δηραῖοι.

---

65 Harp. δ 29 Δημοποίητος· ὁ ξένος μὲν ὢν τῷ φύσει, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγενημένος. ὃν δὲ τρόπον γίνονταί τινες δημοποίητοι δεδήλωκε Δημοσθένης ἐν τῷ Κατὰ Νεαίρας (59,88), εἰ γνήσιος   Hsch. δ 820 δημαγωγός· ἄρχων, ἐκ τοῦ τὸν δῆμον ἄγειν καὶ διοικεῖν, δ 840 δήμιον· κοινόν, δ 844 δήμιος· ὁ τοὺς καταγνωσθέντας ἀναιρῶν, ἢ ὁ ὑπηρέτης τῶν βασάνων, δ 867 δῆμον ἐόντα· {ὀξυτόνως} δημότην, καὶ ἕνα τῶν πολλῶν (Μ 213), δ 873 δημοποίητον· ὁ κατὰ ψήφισμα δήμου γεγονὼς πολίτης, ξένος ὢν φύσει, δ 879 δημοτεύεσθαι· τὸ μετέχειν δήμου καὶ πολιτείας κατὰ νόμον, δ 880 δημότης· ὁ ἐκ τοῦ δήμου. δηλοῖ δὲ καὶ ἰδιώτην, δ 881δημοτικά· τὰ τοῖς πολλοῖς ἐμπρέποντα; similiter Phot. δ 249ss. Suid. δ 451 Δημοποίητος· ὁ ὑπὸ τοῦ δήμου εἰσποιηθεὶς καὶ γεγονὼς πολίτης. Περικλῆς γὰρ ὁ Ξανθίππου, νόμον γράψας τὸν μὴ ἐξ ἀμφοῖν ἀστυπολίτην μὴ εἶναι, οὐ μετὰ μακρὸν τοὺς γνησίους ἀποβαλών, ἄκων καὶ στένων καὶ λύσας τὸν ἑαυτοῦ νόμον καὶ ἀσχημονήσας, ἐλεεινὸς ἅμα καὶ μισητὸς ἔτυχεν ὧν ἐβούλετο. ὅμως γε μὴν ἀντιβολοῦντος καὶ δεκάσαντος τοὺς ἐντεῦθεν ζῶντας, ὀψὲ καὶ μόλις τὸν νόθον οἱ παῖδα τὸν ἐξ Ἀσπασίας τῆς Μιλησίας ἐποίησε δημοποίητον. Δημοποίητος οὖν ὁ φύσει ξένος, ὑπὸ δὲ τοῦ δήμου πολίτης γεγονώς   Demus in Ithaca situs refertur ad Il. 3,201 (Ὀδυσσεύς), ὃς τράφη ἐν δήμῳ Ἰθάκης, quod vocabulum scholia D ad loc. κυρίως Δῆμος λεγόμενος interpretantur; cf. Str. 7,3,6 (C 299,24)

---

65 4 αἰδομένη R: -μένην QPN   5 lac. indic. Meineke (mon. Holste „hanc τοῦ δῆμος significationem non probat locus poetae“)   6 τόπος RQPN: τόπον Berkel   πᾶν <πλῆθος> Salmasius: παν cum spat. ca. 7 litt. RQPN   9 ἀποκοπ N: ἐκκοπῇ P, ἐκκοπ RQ   10 θετικοῦ Salmasius: ἐπιθετικοῦ RQPN   12 εὐεργεσίας RQPN: -ίᾳ Schneider (1849) 550   13 δημήλατος Meineke: δημήλατ RQP, -άτης N   αἰσχῦλος Q   δημηλάτῳ R: -ου QP, -ον N   **66** 1 <πόλις> τῆς susp. Meineke: γῆς RQPN   ἰβηρίας RPN: ἰμηρίας Q   ἧς RQPN: δι' ἧς dub. Meineke in app. σίκανος Q

65. Demos <bedeutet> bei den Athenern sowohl die Dorfgemeinschaft als auch die Volksversammlung.[69] Zudem kann <das Wort> den einzelnen Demot <bezeichnen>: „Zwar ziemt es sich nicht <für einen>, der nur ein Mann aus dem Volke ist“ (Il. 12,211–12). Auch das Gebiet <bezeichnet es, wie> „im Gebiet der Troer“ (Od. 13,266). Und unter den Adeligen <bezeichnet man damit> die Volksmenge, welche in der Stadt wohnt: „<Ob sie (d.h. Penelope) das Bett ihres Gatten ehren und die üble Nachrede des Volkes scheuen soll“ (Od. 16,75). <Demos bezeichnet> auch das Heer der Griechen ausserhalb des eigenen Landes <***> „Wie einen Gott ehrte man ihn im Volk“ (Il. 13,218). Zudem <bezeichnet es> eine ganze Völkerschaft. Ferner <nennt man Demos> einen Ort auf <der Insel> Ithaka, der auch Krokyleion <heisst>; zudem die ganze Bevölkerung, wie es in den *Wespen* (Ar. V. 41) <erkennbar ist>: „Unser Volk will er entzweien“. Der Bewohner <der Gemeinde heisst> Demot, wovon <das Adjektiv> δημόσιος (staatlich, öffentlich; der Staatsdiener) <abgeleitet ist>; auch <sagt man> ‚ich wohne in einer Gemeinde‘ anstatt ‚ich bewohne‘. Dazu <kommen> noch δήμιος (gemeindlich; der Henker) und δημότερος (gewöhnlich, gemein), <der Form nach> ein Komparativ, <aber> nicht durch das Weglassen <des ι zu δήμιος hinzugebildet>, sondern aus dem Positiv von <δῆμος wie bei Homer> „als gemeiner Mann aus dem Volk eine abweichende Meinung zu äussern“ (Il. 12,212). Und <das Ktetikon lautet> demotisch (volkstümlich) und <der zugehörige Komparativ> δημοτικώτερος; Demagoge <wird genannt>, wer dem Volk vorsteht, und eingebürgert <heisst>, wer durch die Gunst eines anderen als Gemeindemitglied aufgenommen worden ist.[70] Auch Komposita <gibt es>: ‚öffentlich verbannt‘ (δημήλατος), – Aischylos in den *Hiketiden* (614) „… soll in Verbindung mit öffentlich beschlossener Verbannung ehrlos sein“ – <heisst> der vom Volk Verbannte; ferner ‚öffentlich verkauftes Konfiskationsgut‘ (δημιόπρατον), <so> Aristophanes in den *Rittern* (103): „Als der Neidhammel die konfiszierten Streuselkuchen abgeleckt hatte“.

66. Dera, Stadt in Iberien, wo der Fluss Sikanos <strömt>. Die Einwohner <heissen> Deraier.[71]

---

[69] Zum Gattungsbegriff δῆμος und seiner Aufnahme in den Lexika s. Whitehead, The Demes of Attica 53–55.

[70] Der ganze Artikel macht einen recht gerafften Eindruck; dazu gehört nicht bloss der unorganisch eingeschobene Hinweis auf Δῆμος als vermeintlichen Ort auf Ithaka, sondern auch die unspezifizierte Erklärung ἐξ ἑτέρου τινὸς εὐεργεσίας. Schneiders Änderungsvorschlag εὐεργεσίᾳ trägt nichts zur Klärung bei. So bleibt nur die Vermutung, es könnte sich hinter der verallgemeinernden Formulierung (welche möglicherweise auf den Epitomator zurückgeht) eine Anekdote verbergen wie jene, welche Suid. δ 451 (= Ael. fr. 68 Hercher) über Perikles überliefert.

[71] Bereits Berkel machte darauf aufmerksam, dass die unbekannte Örtlichkeit verwechselt wurde mit ι 62 Ἰνδάρα Σικανῶν πόλις … τὸ ἐθνικὸν Ἰνδαραῖος ὡς Ἱμεραῖος. Dafür spricht in der Tat die Erwähnung des Flusses Sikanos sowie die irrige Lesart Ἱμηρίας in Q.

67 Δηρουσιαῖοι· ἔθνος Περσικόν. Ἡρόδοτος α̅ (1,125,4) „Πέρσαι δ' οἱ μὲν Πενθιάδαι οἱ δὲ Δηρουσιαῖοι οἱ δὲ Καρμάνιοι".

229 **68 Δία**· πόλις Θεσσαλίας, Αἰακοῦ κτίσμα. β̅ Θρᾴκης κατὰ τὸν Ἄθω. γ̅ Εὐβοίας. δ̅ νῆσος καὶ πόλις Πελοποννήσου περὶ τὸ Σκύλλαιον. ε̅ Λυσιτανίας περὶ τὸν ὠκεανόν. ϛ̅ Ἰταλίας πρὸς ταῖς Ἄλπεσιν. ζ̅ Σκυθίας παρὰ τῷ Φάσιδι. η̅ Καρίας. θ̅ Βιθυνίας πρὸς τῷ Πόντῳ. εἰσὶ καὶ δ̅ νῆσοι Δῖαι λεγόμεναι. α̅ ἡ Νάξος. β̅ ἡ πρὸς Μήλῳ. γ̅ ἡ πρὸς Ἀμοργῷ. δ̅ κατὰ Κνωσσὸν Κρήτης. τὸ ἐθνικὸν Διεύς, καὶ τὸ θηλυκὸν Διάς, ὅθεν καὶ Διάδες Ἀθῆναι.

69 Διαβῆται· νῆσοι περὶ Σύμην. τὸ ἐθνικὸν Διαβηταῖος.

70 Διαβήτη· νῆσος δυσμικωτέρα Σαρδοῦς καὶ Κύρνου. <τὸ> ἐθνικὸν τὸ αὐτό.

71 Διαδόχου· πόλις Περσικὴ οὐ πόρρω Κτησιφῶντος. τὸ ἐθνικὸν Διαδοχηνός <τῷ τύπῳ> τῆς χώρας.

---

67 Hdt. 1,125,4 ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε· Πανθιαλαῖοι, Δηρουσιαῖοι, Γερμάνιοι **68** urbs Thessaliae Δίον appellatur apud D. S. 20,110,3 de urbe in Thracia sita s.v. Δῖον (δ 88) disseritur Sch. Theoc. 2,46b πολλαὶ δέ εἰσι νῆσοι Δῖαι καλούμεναι … καὶ ἡ τῆς Πελοποννήσου Dia inter oppida Scytharum enumeratur apud Plin. nat. 4,86 de urbe Cariae Georg. Syncell. Chron. 603 (p. 386,19) τῆς μικρᾶς Ἀσίας σεισμῷ ι̅γ̅ πόλεις κατεπτώθησαν, Ἔφεσος, Μαγνησία, Σάρδις, … Ἀπολλωνία Δία, Ὑρκανία; EM 389,55 Εὔδωνος· ποταμὸς τῆς ποτὲ μὲν Δίας τε καὶ Ἐρύμνης καὶ Λαρίσης, νῦν δὲ Τράλλεων καλουμένης τῆς Ἀσίας de urbe Bithyniae Menipp. Peripl. 5710 Diller (= GGM 1,569,19) ἀπὸ Ὑπίου ποταμοῦ εἰς Δίαν πόλιν Naxum Diam esse vocatam testantur e.g. Call. fr. 601 Pfeiffer; Sch. ad λ 325; Sch. Theoc. 2,46a; D. S. 5,51,2 Sch. Theoc. 2,46b πολλαὶ δέ εἰσι νῆσοι Δῖαι καλούμεναι … καὶ ἡ περὶ Μῆλον καὶ ἡ περὶ Ἀμοργὸν Str. 10,5,1 (C 484,25) ἔστι δὲ μακρὰ ἡ Θήρα διακοσίων οὖσα τὴν περίμετρον σταδίων, κειμένη δὲ κατὰ Δίαν (codd., Δῖαν Radt) νῆσον τὴν πρὸς Ἡρακλείῳ τῷ Κνωσσίων· διέχει δὲ τῆς Κρήτης εἰς ἑπτακοσίους σταδίους; Stad. 348 (GGM 1,514,4); Ptol. Geog. 3,17,11 Δία (3,15,8 Δῖα Meineke) **69** Plin. nat. 5,133 *praeter eas circa Rhodum Cyclopis, Teganon, Cordylusa, Diabatae* (v.l. *Diabetae*) *IIII* **70** Ptol. Geog. 3,3,8 Νῆσοι δέ εἰσι περὶ τὴν Σαρδώ· … Διαβατὴ νῆσος

---

67 1 Δηρουσιαῖοι Berkel: Δηρουσαῖοι RQPN, Δηρούσιοι Westermann 2 Δηρουσιαῖοι Grumach: δηρούσιοι RQPN **68** 1 Δία RQPN: Δῖα Meineke 2 Πελοποννήσου R: -ονήσου QPN σκύλαιον PN 3 πρὸς ταῖς Ἄλπεσιν Westermann: παρὰ τ. ἄ. R, περὶ τ. ἄ. QPN παρὰ τῷ φάσιδι R: περὶ τ. φ. QPN 5 Μήλῳ Holste: μιλήτω RQPN Ἀμοργῷ Holste: σαμοσσῶ R, σαρμοσσῶ QPN **69** διαβηταῖος R: -βαταῖος QPN **70** 1 τὸ add. Grumach **71** 2 Διαδοχηνός <τῷ τύπῳ> τῆς χώρας Billerbeck (mon. Holste): διαδοχηνός τῆς χώρας R, τῆς χώρας διαδοχηνός QPN

67. Derusiaier, persisches Volk. Herodot <erwähnt sie> im ersten Buch (1,125,4): „Perser aber sind einerseits die Penthiaden, andererseits die Derusiaier sowie die Karmanier“.[72]

68. Dia,[73] Stadt in Thessalien,[74] Gründung des Aiakos. Ein zweites <Dia befindet sich> in Thrakien, am Athos, ein drittes auf Euboia.[75] Ein viertes <Dia> ist eine Insel und eine Stadt auf der Peloponnes, nahe beim <Vorgebirge> Skyllaion <gelegen>; ein fünftes <liegt> in Lusitanien am Ozean <und> ein sechstes in Italien, an den Alpen. Ein siebtes <Dia ist eine Stadt> in Skythien, am Phasis <gelegen>, ein achtes in Karien <und> ein neuntes in Bithynien am Schwarzen Meer. Es gibt ferner vier Inseln namens Dia: die erste <jetzt mit Namen> Naxos, die zweite in der Nähe von Melos, die dritte bei Amorgos <und> die vierte dem kretischen Knossos vorgelagert.[76] Das Ethnikon <lautet in allen Fällen> Dieer, und das Femininum Diadin, woraus man <für die Stadt auf Euboia> auch <den Namen> Diadisches Athen <ableitet>.[77]

69. Diabetai, Eilande rings um <die Insel> Syme. Das Ethnikon <lautet> Diabetaier.

70. Diabete, Insel weiter im Westen als Sardinien und Korsika. Das Ethnikon ist dasselbe (d. h. Diabetaier).[78]

71. Diadochu, persische Stadt, nicht weitab von Ktesiphon <gelegen>. Das Ethnikon <lautet> nach Landesbrauch Diadochener.

---

[72] Das Herodotzitat weicht deutlich vom Originaltext ab; den Volksnamen Καρμάνιοι wird man nicht antasten, ist doch das Ethnikon gut belegt, auch bei Stephanos (220,5; 360,4); zur Identifikation mit den bei Herodot genannten Γερμάνιοι s. R. Schmidt, ZDMG 117 (1967) 124 Anm. 44. Hingegen zeigt der Überlieferungsbefund im Lemma (Δηρουσαῖοι) sowie im Zitat (Δηρούσιοι) Verderbnis und lässt auch in der Epitome auf die ursprüngliche Form Δηρουσιαῖοι für das sonst nicht bekannte Volk schliessen. Ebenfalls unbekannt sind die bei Herodot genannten Πανθιαλαῖοι; für die kritische Beurteilung der Variante Πενθιάδαι in den *Ethnika* fehlen also Anhaltspunkte.

[73] Zgusta, Kleinasiatische Ortsnamen § 259.

[74] Inventory S. 687.

[75] Identisch mit der δ 88 erwähnten Stadt Δῖον.

[76] Für eine Auflistung von zehn Örtlichkeiten namens Dia s. RE V 1,298–299.

[77] Dieselbe Notiz erwähnt Stephanos α 80 (Ἀθῆναι) und δ 88 (Δῖον).

[78] Holste ad loc. „Gentile dicit idem, cum praecedente scilicet Διαβηταῖος, a Διαβῆται. Ita Salmasius“; zu dieser Formel vgl. St. Byz. 122,14; 128,15; 130,3 usw. Daraus hat Meineke den Schluss gezogen, dass die beiden Einträge in ursprünglich *einem* Artikel vereinigt waren „haec sectio cum praecedenti coniungenda videtur, addita ante Διαβήτη particula καὶ“. Im Gegensatz zum ähnlichen Befund α 92–94 (s. zu α 92, Anm. 120) figurieren die Lemmata in keinem anderen Lexikon. Wir können also den ursprünglichen Stand nicht mehr sicher rekonstruieren. Hingegen ist die Aufteilung in zwei gesonderte, alphabetisch korrekte Einträge (Διαβῆται und Διαβήτη) für die Epitome einhellig überliefert.

72 Διακρία· φυλὴ τῆς Ἀττικῆς, ἣν ᾤκει Πάλλας ὁ Πανδίονος υἱός. οἱ δημόται Διακριεῖς.

73 Διανεῖς· ἔθνος Γαλατικόν, Ἐρατοσθένης ἐν δ̅ Γαλατικῶν (FGrHist 745 F 3).

74 Διάς· πόλις Λυκίας, ἣν Διάδης ἔκτισε. τὸ ἐθνικὸν Διαδεύς.

75 Δίγηροι· ἔθνος Θρᾴκιον, Πολύβιος ι̅γ̅ (13,10,9).

76 Δίδυμα· οὐδετέρως, τόπος καὶ μαντεῖον Μιλήτου ἀφιερωμένον Διὶ καὶ Ἀπόλλωνι. εἰσὶ καὶ Κρήτης <ποταμοί>. εἰσὶ καὶ τῆς Θετταλίας.
230 εἰσὶ καὶ δύο νησίδια πρὸς τῇ Σύρῳ. τὸ ἐθνικὸν Διδυμεύς καὶ Διδυμαῖος κτητικόν. εἰσὶ καὶ ὄρη Λαοδικείας ἐγγύς.

77 Διδύμη· μία τῶν Αἰόλου νήσων, ἀπὸ τοῦ σχήματος ὀνομασθεῖσα. ἔστι καὶ πόλις Λίβυσσα. ὁ πολίτης Διδυμαῖος. ἔστι καὶ κώμη Κιλικίας Διδυμή, ὀξυτόνως. Ἀρτεμίδωρος (fr. 61 Stiehle) δὲ δύο νησίδια Δίδυμά φησι.

---

72 Sch. Ar. V. 1223 τὴν δὲ χώραν τὴν Διακρίαν, Hsch. δ 1077 Διακρεῖς· <οὐ> μόνον Εὐβοέων τινές, ἀλλὰ καὶ Ἀθηναίων· καὶ τόπος τῆς Ἀττικῆς καὶ ἡ χώρα Διακρία, Phot. δ 348; tribus nomen Διακρίς apud Poll. 8,109 **75** Plin. nat. 4,40 *amnem Strymonem accolunt dextro latere … laevo Digerri* (v.l. *Digeri*) **76** de oraculi ritu cf. Str. 14,1,5 (C 634,22) EM 272,44 Διδυμαῖος ὁ Ἀπόλλων καὶ Διδυμεύς· ἀπὸ τῶν ἐν Μιλήτῳ Διδύμων. Καλλίμαχος (fr. 229,1 Pfeiffer)· „Φοῖβέ τε καὶ Ζεῦ Διδύμων γενάρχα“ de fluvio Cretensi Dion. Calliph. 126–127 (GGM 1,242) ποταμοὺς δ᾽ ἔχει Ληθαῖον, εἶτα λεγομένους | Διδύμους, ἔπειτα Μαινόμενον montes Δίδυμα in Thessalia sitos Hesiodum laudavisse dicit Str. 14,1,40 (C 647,18) Δοκοῦσι δ᾽ εἶναι Μάγνητες Δελφῶν ἀπόγονοι τῶν ἐποικησάντων τὰ Δίδυμα ὄρη ἐν Θετταλίᾳ, περὶ ὧν φησιν Ἡσίοδος (fr. 164,2–4 Most = fr. 59,2–4 Merkelbach/West)· „ἢ οἵη Διδύμους ἱεροὺς ναίουσα κολωνοὺς | Δωτίῳ ἐν πεδίῳ πολυβότρυος ἄντ᾽ Ἀμύροιο | νίψατο Βοιβιάδος λίμνης πόδα παρθένος ἀδμής“ **77** Str. 6,2,11 (C 276,23) τὴν μὲν δὴ Λιπάραν καὶ τὴν Θέρμεσσαν εἰρήκαμεν. ἡ δὲ Στρογγύλη καλεῖται μὲν ἀπὸ τοῦ σχήματος, ἔστι δὲ καὶ αὐτὴ διάπυρος … . τετάρτη δ᾽ ἐστὶ Διδύμη· καὶ αὕτη δ᾽ ἀπὸ τοῦ σχήματος ὠνόμασται, EM 272,42 Διδύμη· νῆσος μία τῶν Αἰολίδων. εἴρηται ἀπὸ τοῦ σχήματος, διττή πως φαινομένη

---

72 1 Διακρία Meineke: Διάκρεια RQPN 2 Διακριεῖς Xylander: διακρεῖς R(per comp.)QPN **76** 2 κρήτης R[pc]: κρῆναι R[ac]QPN ποταμοί add. Meineke (e Dion. Calliph.) 3 νησίδια RPN: νησία Q διδυμαῖος N: διδυμεῖος QP, διδύμειος R **77** 1 ὀνομασθεῖσα RP[pc](alt. m. supra scr.)N: ὁ νόμος Q, ὁ λόγος P[ac] 3 Διδυμή (vel Διδυμαί) Salmasius: διδυμαῖον RQPN νησίδια R: νησία QPN

72. Diakria, Stammesbezirk in Attika, den Pallas bewohnte, der Sohn des Pandion. Die Angehörigen dieses Bezirks <heissen> Diakrieer.[79]

73. Dianeer, galatisches Volk; Eratosthenes <erwähnt sie> im vierten Buch der *Galatika* (FGrHist 745 F 3).

74. Dias, Stadt in Lykien,[80] die Diades gegründet hat. Das Ethnikon <lautet> Diadeer.

75. Digerer, thrakisches Volk; Polybios <erwähnt sie> im dreizehnten Buch (13,10,9).

76. Didyma, im Neutrum verwendet, Ort und Orakelstätte <im Gebiet> von Milet, die dem Zeus und Apollon geweiht ist.[81] Es gibt zudem auf Kreta <Zwillings->Flüsse;[82] <solche> gibt es auch in Thessalien. Ferner gibt es zwei kleine Eilande <namens Didyma> bei <der Insel> Syros. Das Ethnikon <lautet> Didymeer und das Ktetikon didymaisch. Es gibt auch ein Gebirge <Didyma> in der Nähe von Laodikeia.[83]

77. Didyme, eine der Äolischen Inseln, nach ihrer Gestalt (‚Zwilling‘) benannt. Es gibt auch eine libysche Stadt <dieses Namens>.[84] Der Bürger <heisst> Didymaier. Ferner gibt es ein Dorf in Kilikien <namens> Didyme, <aber> mit Akzent auf der Schlusssilbe.[85] Artemidor (fr. 61 Stiehle) sagt, es gebe zwei Inselchen <namens> Didyma.[86]

---

[79] Die schwankende Bezeichnung von Diakria sowohl für die Phyle als auch den Bezirk (χώρα, τόπος, s. Similia) ist wohl dafür verantwortlich, dass der Bewohner nicht wie üblich als φυλέτης (vgl. St. Byz. 98,12; 144,10) bezeichnet wird, sondern irrigerweise als δημότης. Die Form Διάκριοι wird auf die bekannte demokratische Partei eingeschränkt, welche dann Peisistratos führte, vgl. Arist. Ath. 13,4; Plu. Sol. 13,2.

[80] TIB 8,2,517.

[81] Zgusta, Kleinasiatische Ortsnamen § 264–2; für eine Kurzorientierung (mit weiterführender Literatur) s. DNP 3 (1997) 544–549.

[82] Dazu s. Inscr. Cret. III 135 und 164.

[83] Wie bereits Berkel anmerkt, ist in diesem Artikel vieles unklar und unsicher. Die Etymologie des als griechisch gedeuteten Namens (Zwillings-) dürfte nicht bloss für die erwähnten kretischen und die nicht weiter bekannten thessalischen Flüsse verantwortlich sein. Unsicher ist auch, ob die beiden bei der Insel Syros lokalisierten Eilande Didyma identisch sind mit jenen in δ 77, für welche auf Artemidor verwiesen wird. Nebulös bleibt ferner das gleichnamige Gebirge in der Nachbarschaft von Laodikeia; ist es identisch mit den (phrygischen) Δίνδυμα ὄρη (δ 84), welche Stephanos in die Troas versetzt, oder liegt Verwechslung mit Δίδυμα ὄρη vor, welche Ptol. Geog. 6,7,11 in Arabia Felix lokalisiert?

[84] Darüber ist weiter nichts bekannt; hingegen nennt Ptol. Geog. 4,5,76 (4,5,34) unter den Inseln, welche Libyen/Ägypten vorgelagert sind, Δίδυμαι, νῆσοι δύο.

[85] Identifikation mit der bei Strabon (14,3,3 [C 665,16]) genannten lykischen Ortschaft Δύμη (Casaubonus, δυμήνη codd.), wie sie Salmasius, Holste und Berkel erwogen, ist völlig unsicher; hingegen verzeichnet Stad. 161–162 (GGM 1,479,14) ‚Zwillingsinseln‘ vor der Küste Kilikiens, ἀπὸ τῆς Ἰανουαρίας ἄκρας ἐπὶ τὰς Διδύμους νήσους στάδιοι λ̅. Ἀπὸ τῶν Διδύμων νήσων εἰς πόλιν καλουμένην Μαλλὸν στάδιοι ρ̅.

[86] Dazu s. δ 76 (Anm. 83).

78 Δίδυμον τεῖχος· πόλις Καρίας. οἱ πολῖται Διδυμοτειχῖται.

79 Δίζηρος· ποταμὸς Ἰλλυρίδος. Λυκόφρων (1026) „οἳ πρὸς βαθεῖ *νάσσαντο* Διζηροῦ πόρῳ“. ἴσως ἀπὸ τοῦ δίζησθαι τὴν Μήδειαν ὀνομασθείς. τὸ ἐθνικὸν Διζήριος καὶ Διζηρίτης, ὡς Ἄλωρος Ἀλωρίτης.

80 Δίκαια· πόλις Θρᾴκης, ἀπὸ Δικαίου τοῦ Ποσειδῶνος υἱοῦ. <***> τὸ ἐθνικὸν Δικαιοπολίτης· εἰ δὲ τῷ τύπῳ θέλοις, Δικαῖος καὶ Δικαιεύς. ἔστι καὶ ἑτέρα ἐν τῷ Τυρρηνικῷ κόλπῳ Ἰώνων ἄποικος. ἡ αὐτὴ δ' ἐκλήθη Δικαιάρχεια καὶ Ποτίολοι.

81 Δικαιάρχεια· πόλις Ἰταλίας. ταύτην δέ φασι κεκλῆσθαι Ποτιόλους ἐν ᾗ τὸ συμπόσιον ὁ Ἡρωδιανὸς (1,277,39–278,1) ἔγραψε. πότια δὲ τὰ φρέατα καλοῦσι Ῥωμαῖοι, ὀλῆρε δὲ τὸ ὄζειν· δυσώδη γὰρ τὰ
231 φρέατα εἶχε. τὸ ἐθνικὸν Δικαιαρχεύς ἔδει. ἔστι δὲ καὶ Δικαιαρχείτης ὡς Ζελείτης.

---

79 Lyc. 1026 οἳ πρὸς βαθεῖ *νάσσαντο* Διζηροῦ (AC^{pc}DE, Διζήρου C^{ac}) πόρῳ Sch. Lyc. (Tzetzes) 1021 τὴν *νυμφαγωγὸν ναῦν* ἤγουν τὴν Ἀργὼ θηρώμενος καὶ ἀναζητῶν, οἵτινες Κόλχοι κατῴκησαν πλησίον Διζηροῦ ποταμοῦ παραρρέοντος τὰς Πόλας et 1026 Δίζηρος ποταμὸς Ἰλλυρίδος, ἴσως ἀπὸ τοῦ δίζησθαι τὴν Μήδειαν ὀνομασθείς … Διζηρὸς ποταμὸς πλησίον Πολῶν **80** Δίκαια Thracum apud Hdt. 7,109,1; Str. 7 fr. 18a et 18b; Ps.-Scyl. 67 (68), sed Δικαιόπολις apud Harp. δ 65 Δικαιόπολις· Λυσίας ἐν τῷ Κατὰ Θρασυβούλου (fr. 157 Carey), εἰ γνήσιος. πόλις ἐν τῇ Θρᾴκῃ πλησίον Ἀβδήρων. τυχὸν δὲ καὶ ἑτέρα τίς ἐστι Δικαιόπολις; Phot. δ 593 Δικαιόπολις· πόλις ἐν Θρᾴκῃ, Suid. δ 1067 **81** Str. 5,4,6 (C 245,19) ἑξῆς δ' εἰσὶν αἱ περὶ Δικαιάρχειαν ἀκταὶ καὶ αὐτὴ ἡ πόλις. ἦν δὲ πρότερον μὲν ἐπίνειον Κυμαίων ἐπ' ὀφρύος ἱδρυμένον, κατὰ δὲ τὴν Ἀννίβα στρατείαν συνῴκισαν Ῥωμαῖοι καὶ μετωνόμασαν Ποτιόλους ἀπὸ τῶν φρεάτων (οἱ δ' ἀπὸ τῆς δυσωδίας τῶν ὑδάτων, ἐπεὶ ἅπαν τὸ χωρίον μέχρι Βαϊῶν καὶ τῆς Κυμαίας θείου πλῆρές ἐστι καὶ πυρὸς καὶ θερμῶν ὑδάτων …) Varro ling. 6,84 *<Poto> ab eadem lingua, quod* ποτόν*, potio, unde poculum, potatio, repotia. Indidem puteus, quod sic Graecum antiquum, non ut nunc* φρέαρ *dictum* nomen pluralis numeri apud D. S. 4,22,1 μεταξὺ Μισηνοῦ καὶ Δικαιαρχείων, sed 5,13,2 singularis (εἰς Δικαιάρχειαν) gentile Δικαιαρχείτης memorat St. Byz. 54,1; 422,2; 509,10; Δικαιαρχῖται apud Plb. 3,91,4 cf. etiam Zonar. p. 519 Δικαιάρχεια· ὄνομα πόλεως. δικαιαρχία δὲ ἡ δικαίως ἄρχουσα, similiter Suid. δ 1061

---

78 πολῖται R: πολί- QPN διδυμοτειχῖται R: -χίται QPN **79** 1 ποταμὸς Holste: πόλις RQPN πρὸς βαθεῖ *νάσσαντο* Διζηροῦ πόρῳ Xylander (e Lyc.): προβάθει *νάσσοντο* διζηροῦ πόρου RQ, προβάτειαν *νάσον* διζηροῦ πόρου PN 2 δίζησθαι R: δίζεσθαι QPN **80** 1 lac. indic. Billerbeck (mon. Grumach) 2 τὸ ἐθνικὸν – Δικαιεύς huc transp. Meineke: post ἄποικος (3) habent RQPN εἰ R: ἐν QPN θέλοις R: θέλοις δέλοις Q, om. PN δικαῖος καὶ δικαιεύς QPN: δικαῖος καὶ δικαί δικαίευς R, Δικαῖος καὶ Δικαία καὶ Δικαιεύς Meineke 3–4 ἡ αὐτὴ – Ποτίολοι secl. Grumach **81** 3 ὀλῆρε Meineke: ὀλέρε PN, ὄλαι RQ γὰρ Ald.: δὲ RQPN 4 φρέατα iter. R δικεαρχεύς Q

78. Didymonteichos, Stadt in Karien. Die Bürger <heissen> Didymoteichiten.[87]

79. Dizeros, Fluss in Illyrien. Lykophron (1026) <erwähnt ihn>: „Welche sich bei der tiefen Furt des Dizeros niederliessen“. Mag sein, dass <der Fluss Δίζηρος> davon seinen Namen hat, dass man dort nach Medea suchte (δίζησθαι).[88] Das Ethnikon <lautet> Dizerier und Dizerit, <gebildet> wie <zu> Aloros Alorit.[89]

80. Dikaia, Stadt in Thrakien,[90] nach Dikaios <benannt>, einem Sohn des Poseidon. <***>. Das Ethnikon <lautet> Dikaiopolit. Wenn man es aber nach dem <landesüblichen> Typus <bilden> wollte, <lautet es> Dikaier und Dikaieer. Es gibt noch eine andere <Stadt dieses Namens>, am Tyrrhenischen Golf <gelegen>, eine Kolonie von Ioniern. Dieselbe Stadt hat man Dikaiarcheia und Potioloi (Puteoli) genannt.[91]

81. Dikaiarcheia, Stadt in Italien.[92] Diese aber heisse, sagt man, Potioloi (Puteoli), wo Herodian *Das Symposion* (1,277,39–278,1) verfasst hat. Denn *potia* nennen die Römer die Zisternen, *olere* bedeutet ‚stinken‘; übelriechend waren nämlich die Zisternen, welche <die Stadt> hatte. Das Ethnikon müsste Dikaiarcheer <lauten>. Es gibt aber auch <die Form> Dikaiarcheit, <gebildet> wie Zeleit.

---

87 Möglicherweise zu identifizieren mit dem mysischen Ort Δίδυμα τείχη (Plb. 5,77,8).

88 Woher Stephanos die Namensetymologie übernahm, ist nicht mehr zu eruieren; wie Sch. Lyc. 1021 und 1026 zeigen, benutzte Tzetzes neben Stephanos aber offenbar noch eine andere Quelle (s. Similia). Der Akzent bleibt in der Überlieferung unsicher; zur Anfangsbetonung vgl. Hdn. 1,197,7.

89 Das nach illyrischem Sprachgebrauch (vgl. St. Byz. 423,14; 589,17) und in Analogie zum makedonischen Aloros gebildete Ethnikon kann nicht als Beweis dafür dienen, dass Stephanos bzw. der Epitomator Dizeros fälschlicherweise als πόλις (RQPN) bestimmte und nicht als Fluss; Ethnika zu Flüssen gibt es auch sonst, vgl. etwa α 390 (Ἄρβις), α 567 (Ἀχελῷος), θ 72 (Θύμβρις), ι 14 (Ἰάρδανος). Hin und wieder bezeichnet das Ethnikon von Gewässern Nymphen (α 274) oder Anwohner (α 368, γ 28).

90 Inventory Nr. 643.

91 Dem Artikel, wie er überliefert ist, mangelt es an Kohärenz; Meinekes Umstellung verleiht ihm zumindest eine logische Struktur. Freilich setzt das Ethnikon Δικαιοπολίτης voraus, dass das entsprechende alternative Toponym Δικαιόπολις, wie es gut bezeugt ist, zuerst erwähnt wurde; vgl. allerdings St. Byz. 471,17 (Νεῖλος). Der Hinweis auf eine zweite Stadt dieses Namens (d. h. Dikaiopolis?) in Italien lässt vermuten, dass die Auskunft letztlich auf Harpokration (δ 65) zurückzuführen ist. Für die im Schlusssatz angeführte Identifikation mit Dikaiarcheia (δ 81) fehlen Belege; Grumachs Diagnose einer Interpolation könnte also wohl berechtigt sein.

92 Inventory S. 256.

82 Δίκτη· ὄρος Κρήτης. Καλλίμαχος ἐ<ν ὕμνοις> (fr. 707 Pfeiffer). τὸ ἐθνικὸν Δικταῖος καὶ Δικταία.

83 Δινδρύμη· πόλις Μακεδονίας. τὸ ἐθνικὸν Δινδρυμαῖος.

84 Δίνδυμα· ὄρη τῆς Τρῳάδος, ἀφ' ὧν Δινδυμήνη ἡ Ῥέα. ὁ τοπίτης Δινδυμαῖος. καὶ τὴν θεὸν Δινδυμήνην. <***> ὅτι καὶ Δινδυμηνός καὶ Δινδυμηνή καὶ Δινδύμιος καὶ Δινδυμία. ἐκ τόπου Δινδυμόθεν.

85 Διοβούλειον· πολίχνιον πλησίον τοῦ Πόντου. τὸ ἐθνικὸν Διοβουλεύς, ὡς τὰ τῶν Φρυγίων πόλεων ἐθνικά.

86 Διόμεια· οὐδετέρως, δῆμος τῆς Αἰγηίδος φυλῆς. ὁ δημότης Διομειεύς. Ἡρακλῆς γὰρ ἐπιξενωθεὶς παρὰ Κολύττῳ ἠράσθη Διόμου τοῦ υἱοῦ αὐτοῦ. οὗ ἀποθεω<θέντος ***>.

---

82 Call. Dian. 195–199 καὶ δὴ σχεδὸν ἥλατο πόντον | πρηόνος ἐξ ὑπάτοιο καὶ ἔνθορεν εἰς ἁλιήων | δίκτυα, τά σφ' ἐσάωσαν· ὅθεν μετέπειτα Κύδωνες | νύμφην μὲν Δίκτυναν, ὄρος δ' ὅθεν ἥλατο νύμφη | Δικταῖον καλέουσιν, de quibus disserit Str. 10,4,12 (C 479,2) οὐκ εὖ δὲ οὐδὲ τὸν Καλλίμαχον λέγειν φασὶν ὡς ἡ Βριτόμαρτις φεύγουσα τὴν Μίνω βίαν ἀπὸ τῆς Δίκτης ἅλοιτο εἰς ἁλιέων δίκτυα καὶ διὰ τοῦτο αὐτὴ μὲν Δίκτυννα ὑπὸ τῶν Κυδωνιατῶν προσαγορευθείη, Δίκτη δὲ τὸ ὄρος· οὐδὲ γὰρ ὅλως ἐκ γειτόνων ἐστὶ τοῖς τόποις τούτοις ἡ Κυδωνία, πρὸς δὲ τοῖς ἑσπερίοις κεῖται τῆς νήσου πέρασι· τῆς μέντοι Κυδωνίας ὄρος ἐστὶ Τίτυρος, ἐν ᾧ ἱερόν ἐστιν οὐ Δικταῖον, ἀλλὰ Δικτύνναιον; cf. etiam EM 276,12 Δίκτη· ὄρος τῆς Κρήτης, καὶ ἄκρα κειμένη κατὰ τὸ Λιβυκὸν πέλαγος. καλεῖται δὲ καὶ οὐδετέρως. Ἄρατος (33) „Δίκτῳ ἐν εὐώδει ὄρεος σχεδὸν Ἰδαίοιο". ἀπὸ τοῦ τὸ Δίκτον. εἴρηται παρὰ τὸ τέκω τίκτω, τίκτα τὶς οὖσα, ἀπὸ τοῦ ἐκεῖ τεχθῆναι τὸν Δία. Ἀγαθοκλῆς (FGrHist 472 F 1b) δὲ θηλυκὸν ὄνομα εἶναι τὸ Δίκταιον ὄρος. οἱ δὲ νῆσον φασὶν εἶναι τὴν Δικτήν· καὶ ὄνομα ἀπὸ τῶν ἁλιευτικῶν δικτύων· ἐνταῦθα δὲ Διὸς ἄγαλμα ἀγένειον ἵστατο. λέγεται καὶ Δίκταιον, similiter Zonar. p. 520 **84** Str. 12,5,3 (C 567,31) ἔστι δὲ καὶ ὄρος ὑπερκείμενον τῆς πόλεως (sc. Πεσσινοῦντος) τὸ Δίνδυμον, ἀφ' οὗ ἡ Δινδυμήνη, καθάπερ ἀπὸ τῶν Κυβέλων ἡ Κυβέλη Sch. A. R. 1,985 Δίνδυμον δὲ ὄρος Κυζίκου ἱερὸν τῆς Ῥέας, διὰ τὸ διδύμους μαστοὺς ἐν αὐτῷ ἀνήκειν, ὥς φησι Φιλοστέφανος (FHG III 29 F 2), οὕτω προσαγορευθέν· σύμπασα δὲ ἡ Φρυγία ἱερὰ τῇ θεῷ. ἢ διὰ τὸ δύο ἔχειν ἄκρας οὕτω καλεῖται; EM 276,32 (ex Oro); Hsch. δ 1858; Zonar. p. 526 Eust. ad ι 361 (I 346,12) **86** Sch. Ar. Ra. 651a Ἡράκλεια τἀν Διομείοις γίγνεται· δῆμος τῆς Αἰγηΐδος φυλῆς, ἀπὸ Διόμου, ἐρωμένου τοῦ Ἡρακλέους; cf. etiam Sch. Ar. Ach. 603b, Suid. δ 1161 St. Byz. 393,24 Κυνόσαργες, γυμνάσιον ἐν τῇ Ἀττικῇ καὶ δῆμος, ἀπὸ Διόμου, ἀφ' οὗ ὁ χῶρος Ἀθήνησι Διόμεια καλεῖται. Δίομος γὰρ Ἡρακλεῖ ὡς θεῷ θύων τὰ ξενώσων ἱερὰ Ἡρακλεῖ ἥρῳ ἔδειξε, καὶ αὐτῷ κύων λευκὸς ἁρπάσας τὰ μηρία εἰς τοῦτο τὸ χωρίον ἤνεγκεν gentile Διομειεύς apud Plu. Moralia 852a, sed Διομαιεύς in inscriptionibus Atticae, e.g. IG II/III^{2} 2,2,1765,48; 3,1,4266,2

---

82 1 ἐ<ν ὕμνοις> Meineke (cl. St. Byz. 256,15 et 442,9): ἐ cum spat. 4–7 litt. RQPN τὸ ante ἐθνικὸν om. RQP **83** ante lemma τέλος τοῦ ιβ βιβλίου ἀρχὴ τοῦ ιγ βιβλίου add. R, ἀρχὴ τοῦ βιβλίου P **84** 1 ὄρη RQP^{pc}N: πόλις P^{ac} 2 Δινδυμαῖος Holste (cf. Eust. ad ι 361): δινδυμηναῖος RQ, -μναῖος PN lac. indic. Grumach (mon. Lobeck, Pathologiae prol. 196) **85** 1 Διοβούλειον … Διοβουλεύς Meineke (mon. Lobeck): Διοβούλιον … διοβουλιεύς RQPN **86** 2 κολύττω QPN: βολύττω R, Κολλύτῳ Meineke ἠράσθη RP^{pc}N: lac. indic. om. QP^{ac} 3 ἀποθεω<θέντος> (sc. Ἡρακλέους) susp. Meineke (cf. St. Byz. 394,2), qui lac. indic.: ἀποθέω cum spat. P, ἀποθεω sine spat. RQN

82. Dikte, Berg auf Kreta. Kallimachos <erwähnt ihn> in den *Hymnen* (fr. 707 Pfeiffer). Das Ethnikon <lautet> Diktaier und Diktaierin.

83. Dindryme, Stadt in Makedonien. Das Ethnikon <lautet> Dindrymaier.

84. Dindyma, Gebirgszug in der Troas, nach welchem Rhea <den Beinamen> Dindymene <hat>.[93] Der Ortsansässige <heisst> Dindymaier, und <daher nennt man> auch die Göttin Dindymenerin. <***> dass man auch <endbetont> Dindymener und Dindymenerin <sagt>,[94] ferner Dindymier und Dindymierin. <Das Topikon> für die Herkunft <lautet> ‚aus den Dindyma-Bergen' (Δινδυμόθεν).

85. Diobuleion, Kleinstädtchen in der Nähe des Schwarzen Meeres. Das Ethnikon <lautet> Diobuleer, <gebildet>, wie <man> die Ethnika der phrygischen Städte <abzuleiten pflegt>.[95]

86. Diomeia, als Neutrum verwendet, Demos der Phyle Aigeis. Der Demot <heisst> Diomeieer. Denn Herakles verliebte sich, nachdem er als Gast bei Kolyttos Aufnahme und Bewirtung gefunden hatte, in dessen Sohn Diomos.[96] Als er (d.h. Herakles) vergöttlicht worden war, ***.

---

93 Gebirgszüge mit Heiligtümern der Kybele gibt es zwei: Einerseits derjenige, an dessen Fuss Kyzikos liegt, andererseits derjenige im Grenzgebiet zwischen Phrygien und Galatien. Die anderweitig nicht bezeugte Lokalisierung in der Troas verrät Unsicherheit, doch scheint es sich hier um das zweitgenannte Gebirge zu handeln.

94 Oxytonese bei den Ethnika vorderasiatischer Toponyme ist gewöhnlich, vgl. Debrunner, Griechische Wortbildungslehre § 321. Die Epiklese der Kybele ist als barytones Wort (Δινδυμήνη) gut bezeugt, als oxytones Δινδυμηνή hingegen bloss bei Str. 12,5,3 (C 567,32) als *varia lectio*. Dass die Grammatiker die Akzentuierung offenbar diskutierten, ergibt sich aus Eust. D. P. 1088 (p. 398,14) τὰ Πάταλα, ἀφ' ὧν ἡ νῆσος Παταληνή ὀξυτόνως, ὡς οἱ ἀκριβεῖς λέγουσι. τινὲς δὲ καὶ βαρυτόνως Παταλήνην, ὡς Πριήνην, ἀναγιγνώσκουσιν. Ausführlicher dazu Lobeck, Pathologiae prol. 195 f.

95 Dazu s. St. Byz. γ 99 mit Anm. 91; ferner Lobeck, Paralipomena 29.

96 Zum eponymen Heros s. RE V 1,831.

87 Διομήδεια· πόλις Δαυνίων, κτίσμα Διομήδους. καὶ νῆσος ἡ Διομήδεια, ἐν ᾗ οἱ ἐρωδιοὶ χειροήθεις προσπετόμενοι καὶ εἰς τοὺς κόλπους δύοντες, †οὕς φασιν ὅτι τοὺς ἑταίρους Διομήδους ἐκεῖ εἰς ὄρνιθας
232 μετασχηματισθῆναι. ἔστι καὶ Διομήδεια πλησίον Ἀργυρί<ππων>. τὸ ἐθνικὸν Διομηδεύς. ἄμεινον δὲ Διομήδειος.

88 Δῖον· πόλις Εὐβοίας περὶ τὸ Κήναιον. Ὅμηρος (Β 538) „Κήρινθόν τ' ἔφαλον Δίου τ' αἰπὺ πτολίεθρον". ἔστι καὶ Μακεδονίας, ἔνθα τὸν Ὀλυμπικὸν ἀγῶνα ἐτέλουν. τὸ ἐθνικὸν Διεύς. Παυσανίας (9,30,8) δὲ Διάστας φησί· Μακεδόνων γὰρ ὁ τύπος, Ὀρέσται Λυγκῆσται. γ̄ ἔστι πρὸς τῷ Ἄθῳ, ὡς Θουκυδίδης (4,109,3). δ̄ Θεσσαλίας. ε̄ Πισιδίας. ϛ̄ Ἰταλίας. ζ̄ κοίλης Συρίας, κτίσμα Ἀλεξάνδρου, {καὶ Πέλλα} ἧς τὸ ὕδωρ νοσηρόν. καὶ τὸ ἐθνικὸν Διηνός, ὡς δηλοῖ τὸ ἐπίγραμμα (p. XI Preger = Page, FGE 176)

---

87 de insula Diomedea et ardeis mansuetis Ps.-Antig. 172 Musso (= Call. fr. 407 XLIII Pfeiffer) Περὶ δὲ τῶν ζῴων Λύκον μὲν ἐν τῇ Διομηδείᾳ τῇ νήσῳ φησὶν ἱστορεῖν τοὺς ἐρωδιοὺς ὑπὸ μὲν τῶν Ἑλλήνων, ὅταν παραβάλλῃ τις εἰς τοὺς τόπους, οὐ μόνον ψαυομένους ὑπομένειν, ἀλλὰ καὶ προσπετομένους εἰς τοὺς κόλπους ἐνδύνειν καὶ σαίνειν φιλοφρόνως. λέγεσθαι δέ τι τοιοῦτον ὑπὸ τῶν ἐγχωρίων, ὡς τῶν τοῦ Διομήδους ἑταίρων εἰς τὴν τῶν ὀρνέων τούτων φύσιν μετασχηματισθέντων, cf. etiam Ps.-Arist. Mir. 836a7 (= 79 Giannini); Ael. NA 1,1; Lyc. 592–609 cum Sch. ad 592; Eust. D. P. 483 (p. 308,7) de insula et loco Diomedea prope Argyrippa sitis Str. 6,3,9 (C 283,32) **88** Eust. ad Β 538 (I 431,18) Δίου δὲ πτολίεθρον αἰπὺ τὸ Δῖον λέγει περιφραστικῶς ἐφ' ὑψηλοῦ, ὡς εἰκός, ἱδρυμένον. κεῖται δέ, φασί, τὸ Δῖον τοῦτο περὶ τὸ Κήναιον τῆς Εὐβοίας ἀκρωτήριον. πολίτης αὐτοῦ Διηνός. ἦν δὲ καὶ Μακεδονικόν, φασί, Δῖον, ἔνθα καὶ Ὀλυμπικὸς ἀγὼν ἐτελεῖτο· καὶ ἄλλαι δὲ πόλεις τὴν τοῦ Δίου κλῆσιν εἶχον, ὡς ὁ τὰ Ἐθνικὰ γράψας δηλοῖ, ἐν αἷς καὶ ἡ κατὰ κοίλην Συρίαν, Ἀλεξάνδρου κτίσμα, ἧς τὸ ὕδωρ νοσερόν· ἐφ' ᾧ καὶ ἐπίγραμμα· „νᾶμα τὸ Διηνόν, γλυκερὸν ποτόν, ἢν δέ γε πίῃς, | παύσῃ μὲν δίψης, εὐθὺ δὲ καὶ βιότοιο". ὁ δὲ Γεωγράφος (Str. 10,1,5 [C 446,11]) λέγει καί, ὅτι τὸ Δῖον ἐν τῷ ῥηθέντι Ὠρεῷ καὶ Ἀθῆναι Διάδες αὐτόθι, κτίσμα Ἀθηναίων de urbe Macedonica Th. 4,78,6; Str. 7 fr. 10a et b; Paus. 9,30,8 οἱ Διάσται (edd., vv. ll. διάται, δίασται, δίαται); de Olympiaco certamine cf. D. S. 17,16,3–4 urbem in paeninsula Acte sitam enumerant – praeter Thucydidem (4,109,3), qui eius cives Δίους appellat (2,96,2) – Ps.-Scyl. 66 (67) et Str. 7 fr. 15b de Dio oppido in Coele Syria sito, ab Alexandro condito cf. J. AJ 13,393; Ptol. Geog. 5,15,23 (5,14,18); Hierocl. 722,4

---

87 1 νῆσος RP^{pc}(supra scr. alt. m.)N: τόπος QP^{ac} 2 προσπετόμενοι RPN: προσπετόαρ cum spat. 3 litt. οι Q 3 οὕς φασιν ὅτι vix sanum: ὥς φασιν ὅτι Berkel, οὗ φασιν {ὅτι} τοὺς ἑταίρους Διομήδους {ἐκεῖ} εἰς ὄρνιθας μετασχηματισθῆναι dub. prop. Kambylis ἑτέρους R ἐκεῖ RQPN: κακεῖ Schneider (1849) 550 4 ἔστι καὶ <τόπος> Berkel Ἀργυρί<ππων> Meineke: ἀργυρί cum spat. ca. 3 litt. RQPN, Ἀργυρίππης Berkel (sed cf. adn. ad St. Byz. α 405) **88** 1 Δῖον Xylander: Δίον RQPN περὶ QPN: παρὰ R Κήναιον Xylander: κίνναιον RQPN 3 ὀλυμπικὸν RQ: ὀλυμπιακὸν PN Διάστας Meineke (cl. Paus. codd.): δίαστάς R, διαστὰς QPN 4 Ὀρέσται Λυγκῆσται Meineke (cl. St. Byz. 522,5): ὀρέσται λυγκισταί R, ὀρεσταὶ λυγκισταὶ QPN ἔστι Meineke: ἔσης RQPN, Θράκης Xylander, Ἀκτῆς dub. Grumach 6 καὶ Πέλλα del. Billerbeck (mon. Meineke; cf. Eust. ad Β 538) νοσηρόν RQPN: νοσερόν Westermann (ex Eust.)

87. Diomedeia, Stadt <im Lande> der Daunier, Gründung des Diomedes. Es gibt auch eine Insel Diomedeia, auf welcher die Reiher zahm herbeifliegen und sich auf den Schoss <der Menschen> niederlassen; man sagt, die Gefährten des Diomedes seien dort in Vögel verwandelt worden. Es gibt ferner einen Ort <namens> Diomedeia in der Nähe <der Stadt> Argyrippa.[97] Das Ethnikon <lautet> Diomedeer. Besser ist aber <die Form> Diomedeier.

88. Dion, Stadt auf <der Insel> Euboia,[98] beim <Vorgebirge> Kenaion. Homer (Il. 2,538) <erwähnt sie>: „Kerinthos auch an der Meeresküste und Dion, die Stadt am Steilhang“. Es gibt auch <eine Stadt namens Dion> in Makedonien,[99] wo man den Olympischen Wettkampf durchzuführen pflegte. Das Ethnikon <lautet> Dieer. Pausanias (9,30,8) nennt sie jedoch Diaster; denn dies ist die makedonische Bildungsweise, <wie> Orester, Lynkester.[100] Ein drittes <Dion> gibt es beim Berg Athos,[101] wie Thukydides (4,109,3) <angibt>; ein viertes in Thessalien,[102] ein fünftes in Pisidien, ein sechstes in Italien. Ein siebtes <Dion ist eine Stadt> in Koile Syria,[103] eine Gründung Alexanders <des Grossen>, deren Wasser unbekömmlich ist.[104] Und das Ethnikon <lautet> Diëner, wie das <folgende> Epigramm zeigt (S. XI Preger = Page, FGE 176):

---

[97] Der Artikel hat durch die Verkürzung an Klarheit eingebüsst. Erstens handelt es sich bei der erst genannten Stadt und der zuletzt erwähnten offensichtlich um dieselbe Örtlichkeit. Zweitens ist in der gerafften Erzählung über die Metamorphose von Diomedes’ Gefährten in Vögel die Syntax arg durcheinander geraten. Dass sich hinter dem unerträglichen Anakoluth οὓς φασιν ὅτι τοὺς ἑταίρους … μετασχηματισθῆναι Textausfall verbirgt, ist nicht auszuschliessen.

[98] Inventory Nr. 368.

[99] Inventory Nr. 534.

[100] Dazu s. Fraser, Ethnic terminology 66 Anm. 13.

[101] Inventory Nr. 569.

[102] Inventory S. 687.

[103] Cohen, Hell. settlements 2,245–247.

[104] Die Erwähnung der Stadt Pella als Gründung Alexanders des Grossen ist hier, wie Meineke richtig sah, fehl am Platz. Aus der Tatsache, dass Eustathios (s. Similia) sie in seinem nahezu wörtlichen Referat nicht erwähnt, lässt sich auf spätere Interpolation schliessen; s. Cohen, Hell. settlements 2,265–268.

νᾶμα τὸ Διηνὸν γλυκερὸν ποτόν, ἢν δέ γε πίῃς,
παύσῃ μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου.

τὸ κτητικὸν Διακός. καὶ τὸ θηλυκὸν Διάς, ὡς δηλοῦσιν αἵ γε περὶ ταύτην ἦσαν Διάδες Ἀθῆναι καλούμεναι. οἱ πολῖται Ἀθηναῗται.

16 **89 Διονυσία**· πόλις Ἰταλίας. ἔστι καὶ Διονυσιάς. τὸ ἐθνικὸν Διονυσιεύς, ὡς Δημητριάς Δημητριεύς.

233 **90 Διονύσου πόλις**· ἐν τῷ Πόντῳ, ἡ πρότερον Κρουνοί ἀπὸ τῆς τῶν ὑδάτων καταρροῆς. „Διονυσιακοῦ δὲ προσπεσόντος ὕστερον | ἐκ τῆς θαλάττης τοῖς τόποις ἀγάλματος“ (Ps.-Scymn. fr. 2a Marcotte) οὕτως ἐκλήθη. εἰσὶ καὶ Κρουνοί χωρίον πρὸς δύσιν τῆς ἐχούσης τοὺς βασιλέας πόλεως. β̅ Φρυγίας, κτίσμα Ἀττάλου καὶ Εὐμενοῦς ξόανον εὑρόντων Διονύσου περὶ τοὺς τόπους. γ̅ τῆς Ἰνδικῆς. δ̅ Λιβύης. ε̅ Θρᾴκης. τὸ ἐθνικὸν Διονυσοπολίτης.

91 Διόπη· πόλις Ἀρκαδίας, ὡς Φερεκύδης (FGrHist 3 F 160). τὸ ἐθνικὸν Διοπεύς ἢ Διοπίτης ὡς Σινωπίτης.

92 Διὸς ἱερόν· πολίχνιον Ἰωνίας μεταξὺ Λεβέδου καὶ Κολοφῶνος. τὸ ἐθνικὸν Διοσιερίτης, ὡς Φλέγων ἐν α̅ Ὀλυμπιάδων (FGrHist 257 F 3).

---

90 Ps.-Scymn. fr. 2b Marcotte (= Anon. Peripl. M. Eux. 78 [15r21 Diller]) αὕτη ἡ Διονυσόπολις πρῶτον ὠνομάζετο Κρουνοὶ διὰ τὰς τῶν ἐγγὺς ὑδάτων ἐκρύσεις· ἔπειτα δὲ μετωνομάσθη Ματιόπολις· ὕστερον δέ, Διονυσιακοῦ ἀγάλματος προσπεσόντος ἐκ τῆς θαλάσσης τοῖς τόποις, Διονυσόπολιν λέγουσι κληθῆναι πάλιν. ἐν μεθορίοις δὲ τῆς Κροβύζων καὶ Σκυθῶν χώρας κειμένη μιγάδας Ἕλληνας οἰκητὰς ἔχει, Plin. nat. 4,44 *nunc habet Dionysopolim, Crunon antea dictam* *Dionysopolitae* incolae Phrygiae urbis apud Plin. nat. 5,106 Indiae urbs Dionysopolis (i.e. Nysa) apud Ptol. Geog. 7,1,43 de Libyca urbe Διονύσου πόλις cf. Str. 7,3,6 (C 299,18); Eust. ad κ 3 (I 363,18) **92** cf. Th. 8,19,2 gentilia Διοσιρίτης (IG I^3 1,37,27) et Διοσερίτης (IG I^3 1,289,1,42)

---

9 διηνὸν RQPN Eust.: Διηνῶν dub. Meineke ἢν δέ γε πίῃς Eust.: ἠνιδὲ πίῃς RQ, ἢν ἰδὲ πίῃς PN, ἢν δὲ πίῃς νιν dub. Meineke 10 παύσῃ RQPN Eust.: παύσει V εὐθὺς R 11 περὶ ταύτην ἦσαν RQPN: περὶ τὴν Εὔβοιαν dub. Meineke 12 διάδες R πολῖται ἀθηναῖται R: -ίται -ίται QPN **89** 1 Διονυσία Meineke: Διονύσια RQPN **90** 1 κρουνοί PN: κουρνοὶ RQ 4 εἰσὶ δὲ καὶ N κρουνοὶ PN: κρυνοὶ RQ τοὺς βασιλέας RQ: τὸν βασιλέα PN **91** 2 διωπίτης Q **92** 1 κολοφῶνος RP^{pc}(suppl. alt. m.)N: spat. 4 litt. φῶνος QP^{ac} 2 Ὀλυμπιάδων Holste: ὀλυμπιάδος RQP^{ac}, -άδι P^{pc}(alt. m.)N

Der Quell von Dion bietet süssen Trank; trinkt man erst davon,
löscht er zwar den Durst, sogleich aber auch das Leben aus.

Das Ktetikon <lautet> diakisch. Und das Femininum Diadin (Διάς), wie der Name Athenai Diades, der sich auf eben diese <Stadt Euboias> bezog, beweist.[105] Ihre Bürger <heissen> Athenaïten.

89. Dionysia, Stadt in Italien. Es gibt auch Dionysias.[106] Das Ethnikon <lautet> Dionysieer, <gebildet> wie <zu> Demetrias Demetrieer.

90. Dionysupolis (Dionysopolis), am Schwarzen Meer <gelegen>,[107] die früher Krunoi (Quellbäche) <hiess>, nach dem Herabfliessen der Quellwasser. „Als aber später eine Statue des Dionysos aus dem Meer an <die Küste> der dortigen Gegend gespült worden war" (Ps.-Scymn. fr. 2a Marcotte), hat man sie so benannt. Es gibt auch eine Örtlichkeit Krunoi im Westen der Kaiserstadt.[108] Ein zweites <Dionysopolis liegt> in Phrygien,[109] eine Gründung von Attalos (II.) und von Eumenes (II.), welche in der dortigen Gegend eine hölzerne Statue des Dionysos gefunden hatten. Ein drittes <befindet sich> in Indien,[110] ein viertes in Libyen, ein fünftes in Thrakien. Das Ethnikon <lautet> Dionysopolit.

91. Diope, Stadt in Arkadien, wie Pherekydes (FGrHist 3 F 160) <angibt>. Das Ethnikon <lautet> Diopeer oder Diopit, <gebildet> wie Sinopit.

92. Dioshieron, Kleinstädtchen in Ionien,[111] zwischen Lebedos und Kolophon <gelegen>. Das Ethnikon <lautet> Dioshierit, wie Phlegon im ersten Buch der *Olympiaden* (FGrHist 257 F 3) <angibt>.[112]

---

105 Vgl. St. Byz. α 80 (34,19).

106 Eine italische Örtlichkeit namens Dionysia ist unbekannt. Plinius erwähnt den Namen für eine Insel, welche Aitolien vorgelagert ist (nat. 4,53), sowie für eine im lykischen Meer (nat. 5,131). Worauf das Toponym Dionysias geht, ist völlig ungewiss. Bei Ps.-Scyl. 100 (83) wäre der Ort identisch mit der bereits erwähnten lykischen Insel. Zudem bezeichnet Dionysias alternativ die Insel Naxos (Plin. nat. 4,67; D. S. 5,52). Dionysias heisst auch eine befestigte Zollstation (ptolemäisch-römisch) westlich des Moirissees (Ptol. Geog. 4,5,36 [4,5,15]); Calderini/Daris, Dizionario 2,2,107–110. Bekannt ist ferner eine Siedlung im südlichen Syrien; dazu Cohen, Hell. settlements 2,247.

107 Inventory Nr. 684.

108 Gemeint ist wohl Konstantinopel (so Holste); ein späterer Einschub, wie Meineke vermerkt „dicendi genus interpolatoris barbariem redolet".

109 Cohen, Hell. settlements 1,293–295.

110 Cohen, Hell. settlements 2,55.

111 Inventory Nr. 842; zu unterscheiden vom lydischen Dioshieron am Tmolos (Ptol. Geog. 5,2,17 [5,2,14]; Hierocl. 659,12).

112 Die Varianten des Buchtitels, Ὀλυμπιάδος (RQP^{ac}) und Ὀλυμπιάδι (P^{pc}N), haben ihren Ursprung offensichtlich in einer Abkürzung der Vorlage. Holstes Verbesserung Ὀλυμπιάδων stellt die Form her, in welcher Stephanos bei Präpositionsgebrauch (ἐν) das Werk gewöhnlich zitiert, z.B. 145,15; 177,17; 204,2.

93 Διοσκουριάς· μία τῶν ἐν Λιβύῃ Λευκῶν νήσων. ὁ νησιώτης Διοσκουρίτης. ἔστι καὶ ἑτέρα περὶ τὸν Πόντον, ἥτις Σεβαστόπολις καλεῖται καὶ πρότερον δὲ Αἶα ἐκικλήσκετο, ὡς Νικάνωρ (FHG III 633 F 12). ὁ πολίτης Διοσκουριεύς. ἔστι καὶ ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ νῆσος Διοσκουρίδου.

94 Διοσκούρων κώμη· Λιβύης, ἐν ᾗ τὸν Πάριν ἐπιδιώξαντες ἥρπασαν τὴν Ἑλένην οἱ Διόσκουροι καὶ ἐνῴκησαν. ὁ κωμήτης Διοσκουροκωμήτης ὡς Μεγαλοκωμήτης, ἐκ δύο ἓν παράγωγον.

234 **95 Διὸς πόλις**· ἡ μεγάλη πόλις τῆς Αἰγυπτίας Θηβαΐδος, ἡ λεγομένη ἑκατόμπυλος, κτίσμα Ὀσίριδος καὶ Ἴσιδος. πρὶν δὲ ὑπὸ Περσῶν ἀφανισθῆναι, φησὶ Ἑκαταῖος (FGrHist 264 F 19b), ὅτι μυρίας τρισχιλίας κώμας εἶχε καὶ τριάκοντα, ἀνθρώπων δὲ μυριάδας ἑπτακοσίας, ἀρουρῶν δὲ τόπον μεμετρημένον γ̅ψ̅, ρ̅ δὲ πύλας διακεκοσμημένας, τετρακόσια στάδια τὸ μῆκος. εἰσὶ δὲ καὶ ἄλλαι μικραὶ ἐν Αἰγύπτῳ δ̅, ὧν ἐν τῇ μιᾷ τιθασεύουσι τοὺς κροκοδείλους, ἐν ἄντροις καὶ φρέασι σέβοντες, μηδὲ τοῦ ποταμοῦ γευόμενοι, μηδ' εἰ σφόδρα θέλοιντο. ϛ̅ Λυδίας. ζ̅ Παλαιστίνης. ὁ πολίτης Διοπολίτης.

---

93 de Leucis insulis cf. Ps.-Scyl. 109 (92) ἔχονται δὲ τούτων Δρέπανον, νῆσοι Ποντιαὶ τρεῖς, καὶ τούτων Λευκαὶ καλούμεναι de Dioscuriade urbe in Colchorum terra sita cf. Str. 11,2,14–16 (C 496,34) nominis mutationem memorant Ptol. Geog. 5,10,2 (5,9,2) Διοσκουριὰς ἡ καὶ Σεβαστόπολις, Arr. Peripl. M. Eux. 10,4 insula (cum oppido) Dioscoridae apud Ptol. Geog. 6,7,45; 8,22,17 **94** Ptol. Geog. 4,5,28–29 (4,5,13) Μαρμαρικῆς μὲν οὖν εἰσι κῶμαι μεσόγειοι· … Διοσκόρων **95** Sch. bT ad I 383c (= Porph. 1,137,22 Schrader; vide Erbse II 480 ad loc.) ἐν ταύτῃ δὲ ἦν πρότερον τὰ βασίλεια τῆς Αἰγύπτου, εἰς ἃ πολλοὺς ἔφερον φόρους Λίβυες, Αἰγύπτιοι, Αἰθίοπες, νῦν δὲ Διόσπολις ὀνομάζεται. εἶχε δὲ κώμας μὲν τρισμυρίας τρισχιλίας τριάκοντα· τὸ δὲ ἄστυ εἶχεν ἀρούρας τρισχιλίας ἑπτακοσίας καὶ πύλας ἑκατόν, ἀνδρῶν δὲ μυριάδας ἑπτακοσίας. ταύτην ἐτείχισεν ὁ βασιλεὺς Ὄσιρις. ἐξ ἑκάστης δὲ πύλης ἐστράτευον ὁπλῖται μὲν μύριοι, ἱππῆες δὲ χίλιοι, ἁρματηλάται δὲ διακόσιοι. ταύτην Ἕλληνες Θήβην ὠνόμαζον ἀπὸ τῆς Νείλου ἢ Ἀσωποῦ ἢ Πρωτέως θυγατρός. ἐπορθήθη δὲ ὑπὸ Περσῶν, Eust. ad I 382–384 (II 737,17); cf. etiam Str. 17,1,46 (C 815,28) Ptol. Geog. 4,5,73 (4,5,32) Θηβῶν νομὸς καὶ μητρόπολις Διὸς πόλις Μεγάλη Diospolis Parva inter Abydum et Tentyra sita describitur apud Str. 17,1,44 (C 814,26) Μετὰ δὲ τὴν Ἄβυδον Διὸς πόλις (Kramer, διόσπολις codd.) ἡ μικρά, εἶτα Τέντυρα πόλις. ἐνταῦθα δὲ διαφερόντως παρὰ τοὺς ἄλλους Αἰγυπτίους ὁ κροκόδειλος ἠτίμωται καὶ ἔχθιστος τῶν ἁπάντων θηρίων νενόμισται. οἱ μὲν γὰρ ἄλλοι καίπερ εἰδότες τὴν κακίαν τοῦ ζῴου καὶ ὡς ὀλέθριον τῷ ἀνθρωπίνῳ γένει σέβονται ὅμως καὶ ἀπέχονται, οὗτοι δὲ πάντα τρόπον ἀνιχνεύουσι καὶ ἐκφθείρουσιν αὐτούς Diospolitanae urbis in Palaestina sitae mentionem faciunt Hierocl. 718,4; Theodoret. Hist. 1,5,5 Λύδδα δέ ἐστιν ἡ νῦν καλουμένη Διόσπολις

---

93 1 Διοσκουριάς PN: Διοσκουρίας RQ λευκῶν QPN: -οῦ R 2 περὶ τὸν Q: περὶ R, παρὰ τὸν PN σεβανόπολις Q 3 ἐκικλήσκετο P^pc(-κικλή- alt. m.)N: ἐκεκλή- RQ 4 διοσκουρίδου RQ: διοσκορ- PN **94** 1 <κώμη> Λιβύης Kambylis, Λιβύης <κώμη> susp. Billerbeck (cl. St. Byz. 336,12) 2 οἱ διόσκουροι om. PN καὶ ἐνῴκησαν Holste: ἣν ᾤκησαν PN, ᾤκησαν R, ᾤκισαν Q, ἣν ᾤκισαν Salmasius **95** 1 Διὸς πόλις RQPN: Διόσπολις Meineke 2 ἑκατόμπυλος RQ: ἑκατόμπολις PN 3 Ἑκαταῖος A.H.L. Heeren: κάτων RQPN Porph., alii alia (vide Jacoby ad loc.) 5 γ̅ψ̅· ρ̅ RQPN: τρισχιλίων καὶ ἑπτακοσίων, ἑκατὸν Ald. πύλας διακεκοσμημένας Berkel: πύλαι διακεκοσμημέναι RQPN 7 τιθασεύουσι RQ: -σσεύουσι PN μηδὲ Xylander: μὴ δὲ RQPN 8 θέλοιντο Salmasius: λέγοιντο RQPN 9 διοπολίτης RQPN (cf. St. Byz. 692,20; Ptol. Geog. 4,5,67): Διοσπολίτης Berkel

93. Dioskurias, eine von den Weissen Inseln vor <der Küste> Libyens. Der Inselbewohner <heisst> Dioskurit. Es gibt noch ein weiteres <Dioskurias>, am Schwarzen Meer <gelegen>,[113] welches Sebastopolis heisst und früher Aia genannt worden war, wie Nikanor (FHG III 633 F 12) <angibt>. Der Bürger <heisst> Dioskurieer. Zudem gibt es im Roten Meer eine Insel des Dioskurides.

94. Dioskuron-Kome (Dioskurendorf), in Libyen <gelegen>,[114] in welchem die Dioskuren, die Paris nachgesetzt hatten, Helena <wieder> in ihre Gewalt brachten und <danach> Wohnsitz nahmen.[115] Der Dorfbewohner <heisst> Dioskurokomet, <gebildet> wie Megalokomet, aus zwei <Stammwörtern> als ein <Kompositum> abgeleitet.

95. Diospolis, Hauptstadt (Diospolis Magna) der ägyptischen Thebais; genannt die Hunderttorige, eine Gründung des Osiris und der Isis. Vor ihrer Zerstörung durch die Perser habe sie aber, sagt Hekataios (FGrHist 264 F 19b), dreizehntausend und dreissig Dörfer besessen, ferner <eine Bevölkerung von> siebenhunderttausend Menschen, weiter ein vermessenes Ackerland von dreitausendsiebenhundert Morgen sowie hundert gleichmässig angelegte Tore, <wobei die ganze Stadtmauer> vierhundert Stadien lang war. Es gibt zudem vier kleine Städte <dieses Namens, d.h. Diospolis Parva> in Ägypten. In einer von diesen zähmen <die Ägypter> die <heiligen> Krokodile, wobei sie <die Tiere> in Grotten und Brunnen verehren und nicht einmal aus dem Fluss (d.h. Nil) trinken, selbst wenn sie heftig Lust danach verspüren.[116] Ein sechstes <Diospolis ist eine Stadt> in Lydien, ein siebtes in Palästina. Der Bürger <heisst> Diopolit.

---

113 Inventory Nr. 709.

114 Zwar interpungieren die Hss nach Διοσκούρων, fassen also κώμη als das Interpretament auf. Das Ethnikon sowie die Erklärung von dessen Bildung am Schluss des Artikels sind jedoch ein deutlicher Hinweis, dass κώμη Bestandteil des Toponyms ist; vgl. θ 57 (Θρᾳκῶν κώμη), ι 89 (Ἵππου κώμη) sowie Μεγάλη κώμη (348,6–7), ferner 504,13.

115 Für diese Sagenversion ist Stephanos zwar der einzige Zeuge, doch geht aus der Erzählung bei Paus. 3,16,1–3 hervor, dass bereits eine ältere Version die Dioskuren nach Kyrene gelangen lässt.

116 Calderini/Daris, Dizionario 2,2,116–119. Von den vier von Stephanos erwähnten ägyptischen Städten namens Diospolis Parva lässt sich dank Strabon (17,1,44) mit einiger Sicherheit bloss diejenige identifizieren (Διόσπολις ἄνω), welche auf dem linken Nilufer zwischen Ptolemais Hermiu und Tentyra liegt; eine weitere mag mit Διόσπολις κάτω (Str. 17,1,19 [C 802,15]; Hierocl. 725,1) identisch sein. Die Aufzucht und Verehrung von Krokodilen wird bei antiken Autoren mehrfach erwähnt; s. J.M.C. Toynbee, Tierwelt der Antike (Mainz 1983) 211–213. Während sich Stephanos im Artikel Κροκοδείλων πόλις (385,16) auf Herodot (2,148; vgl. auch 2,69) beruft, scheint er hier Strabon (17,1,44; vgl. auch 1,38) zu folgen.

96 Διοχίτης· κώμη Αἰγύπτου, ἐν ᾗ τέθαπται Ὄσιρις. ἐθνικὸν τὸ αὐτὸ Διοχίτης.

97 Δίπαια· πόλις Ἀρκαδίας. τὸ ἐθνικὸν Διπαιεύς. ἀλλὰ καὶ ἡ πόλις οὕτως.

98 Δίρφυς· ὄρος Εὐβοίας, ὡς Εὐφορίων (fr. 99 Lightfoot = fr. 73 Powell). τὸ ἐθνικὸν Δίρφυος. καὶ Διρφύα ἡ Ἥρα τιμᾶται.

99 Δισοραί· ἔθνος Θρᾴκιον, Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 178).

100 Δίφροι· πόλις Φοινίκων. τὸ ἐθνικὸν ὁμώνυμον.

101 Διωνία· πόλις, ἣν συγκαταλέγει ταῖς Κυπρίαις πόλεσι Θεόπομπος ιε̅ Φιλιππικῶν (FGrHist 115 F 115). τὸ ἐθνικὸν Διωνιᾶται ὡς Κυδωνιᾶται.

102 Δόβηρος· πόλις Παιονίας. οἱ πολῖται Δόβηρες.

235 **103 Δοίαντος πεδίον·** Φρυγίας. Ἄκμονα γὰρ καὶ Δοίαντά φασιν ἀδελφούς, ἀφ᾽ ὧν τὸ Δοιάντιον καὶ Ἀκμόνιον ἄλσος.

104 Δοκίμειον· πόλις Φρυγίας, ὡς Εὐδαίμων (RE VI 1,885 Nr. 8). τὸ ἐθνικὸν Δοκιμεύς κατὰ τέχνην, κατὰ δὲ τὴν συνήθειαν Δοκιμηνός, ἀφ᾽ οὗ τὰ μάρμαρα οὕτω φασί.

---

96 Plu. Moralia 359a οὐχ ἥκιστα δ᾽ ἡ τῶν Ὀσιρείων δόξα, πολλαχοῦ κεῖσθαι λεγομένου τοῦ σώματος· τήν τε γὰρ Διοχίτην (suppl. Holwerda [e St. Byz.], lacunam indic. codd.) ὀνομάζεσθαι πολίχνην λέγουσιν, ὡς μόνην τὸν ἀληθινὸν ἔχουσαν **97** Isoc. 6,99 ἐν Διπαιᾳ, sed plur. numeri Διπαιεῖς apud Hdt. 9,35,2; Paus. e.g. 3,11,7; 8,8,6 et 45,2; St. Byz. 484,7 Ὀδυσσεῖς· πόλις Ἰβηρίας … ὡς Ἀταρνεῖς (α 514 Ἄταρνα) καὶ Διπαιεῖς **98** Sch. Lyc. 374c Τρύχατα δὲ ὄρος Εὐβοίας καὶ Νέδων ὁμοίως· καὶ Διρφωσσὸς καὶ Διάκρια ὄρη Εὐβοίας. τὸν δὲ Διρφωσσὸν ὁ Εὐφορίων (fr. 99 Lightfoot = fr. 73 Powell) Δίρφυν καλεῖ „Δίρφυν ἀνὰ τρηχεῖαν ὑπ᾽ Εὐβοίῃ κεκόνιστο“, ad quae Tzetzes (375b) e Stephano addidit Δίρφυς ὄρος Εὐβοίας ὡς Εὐφορίων **102** Hdt. 7,113,1 Παίονας Δόβηράς τε, Th. 2,98,2 ἀφίκοντο ἐς Δόβηρον τὴν Παιονικήν, Str. 7 fr. 16a; Ptol. Geog. 3,13,28 (3,12,25) **103** St. Byz. α 162 (60,18) Ἀκμόνιον ἄλσος … εἰρήσεται ἐν τῷ περὶ Δοίαντος πεδίου A. R. 2,373 Δοίαντος πεδίον, cum Sch. ad 2,373–76a ἔνθα δὲ Δοίαντος πεδ<ίον>· Δοίας καὶ Ἄκμων ἀδελφοί· τίνος δὲ πατρός, οὐ φέρεται, ὥς φησι Φερεκύδης (FGrHist 3 F 15b). πλησίον δέ, φησί, τοῦ Δοίαντος πεδίου εἰσὶ τρεῖς πόλεις, ἔνθα κατῴκουν αἱ Ἀμαζόνες, Λυκαστία, Θεμίσκυρα καὶ Χαδησία **104** St. Byz. 592,3 Σύνναδα· πόλις Φρυγίας „ … καὶ Δοκίμεια κώμη ἐπέκεινα αὐτῆς … οἱ δ᾽ ἐπιχώριοι Δοκιμῖτιν καὶ Δοκιμαίαν“, e Str. 12,8,14 (C 577,12) ἐπέκεινα δ᾽ ἐστὶ Δοκίμεια κώμη καὶ τὸ λατόμιον τοῦ Συνναδικοῦ λίθου (οὕτω μὲν Ῥωμαῖοι καλοῦσιν, οἱ δ᾽ ἐπιχώριοι Δοκιμίτην καὶ Δοκιμαῖον Eust. D. P. 815 (p. 360,41) καὶ τρίτη ἡ λεγομένη Ἐπίκτητος, ἐν ᾗ τὸ Κοτυάειον καὶ τὸ Δορύλαιον, ὡς ὁ Γεωγράφος (Str. 12,8,12 [C 576,20]) ἱστορεῖ, τὸ καὶ Δορυλάειον, κατὰ δὲ τὴν ὀρθογραφικὴν τέχνην καὶ Δορύλλειον, διὰ διφθόγγου, ὥσπερ καὶ Δοκίμειον, πόλις καὶ αὐτὸ Φρυγίας; Phlp. Diff. δ 12 p. 17 Daly Δοκίμιον· ἡ τῆς Φρυγίας πόλις προπαροξύνεται καὶ διὰ τοῦ ι γράφεται; Choerob. An. Ox. 2,197,10

---

96 1 Διοχίτης novum tmema PN: διοχιτ(τ supra scr.) et διοχίτη in marg. R, διοχίτης Q, uterque cod. hanc sectionem cum δ 95 coniungit post τέθαπται spat. ca. 12 litt. indic. RQ 2 διοτειχίτης R **101** 1 καταλέγει N 2 διωνιᾶται et κυδωνιᾶται RQ^{pc}: -άται bis Q^{ac}PN **102** παιονίας R: παιωνίας QPN πολῖται Ald.: -ίται RQPN **103** 1 Δοίαντος πεδίον· interp. Jacoby (cl. supra α 162 [61,2]): Δοίαντος· πεδίον Q, sine interpunctione R, δοίαντες· πεδίον PN 2 δοιάντειον R ἀκμόνιον QP: -μόνειον (ex -μώνειον) R^{pc}, -μώνιον N ἄλσος Jacoby: ἄλση RQPN

96. Diochites, Dorf in Ägypten, wo Osiris begraben liegt. Als Ethnikon <dient> dieselbe Form Διοχίτης (Diochit).[117]

97. Dipaia, Stadt in Arkadien.[118] Das Ethnikon <lautet> Dipaieer (Διπαιεύς). Aber auch die Stadt <heisst> so (d.h. Διπαιεῖς).

98. Dirphys, Berg auf Euboia, wie Euphorion (fr. 99 Lightfoot = fr. 73 Powell) <angibt>. Das Ethnikon <lautet> Dirphyer. Und man verehrt <dort> Hera <mit Beinamen> Dirphya.

99. Disorer, thrakisches Volk; Hekataios <nennt sie> in der *Europe* (FGrHist 1 F 178).[119]

100. Diphroi, Stadt der Phönizier. Das Ethnikon <im Plural> ist gleichlautend.

101. Dionia, Stadt, die Theopomp im fünfzehnten Buch der *Philippika* (FGrHist 115 F 115) zusammen mit den kyprischen Städten aufzählt. Das Ethnikon <lautet> Dioniaten, <gebildet> wie Kydoniaten.

102. Doberos, Stadt in Paionien. Die Bürger <heissen> Doberen.

103. Doias-Ebene, in Phrygien. Akmon und Doias, heisst es, waren nämlich Brüder, von welchen die Bezeichnung Doiantische <Ebene> und Akmonischer Hain <kommt>.

104. Dokimeion, Stadt in Phrygien,[120] wie Eudaimon (aus Pelusion, RE VI 1,885 Nr. 8) <angibt>. Das Ethnikon <lautet> Dokimeer, nach den Regeln der Grammatiker <gebildet>, nach Landesbrauch jedoch Dokimener;[121] daher geben sie auch dem <dortigen> Marmor diesen Namen.

---

[117] Die Überlieferung des Artikels ist in mehrfacher Hinsicht gestört oder zumindest unsicher. Da der Ort unbekannt ist (denn Plu. Moralia 359a ist aus Stephanos ergänzt), fehlen Anhaltspunkte für Klärung des Toponyms sowie eine mögliche Ergänzung der Lücke in RQ. Als Bestattungsort für Osiris erwähnt Stephanos auch Busiris (β 154) sowie Taphosiris (609,7).

[118] Inventory Nr. 268.

[119] Das Volk ist unbekannt; es fehlt daher eine Grundlage sowohl für Meinekes Vermutungen Δισόραι oder Δισοραῖοι als auch für eine mögliche Verbindung mit Hdt. 5,17,2 Δύσωρον ὄρος, wie sie Jacoby erwog (Kommentar, S. 349).

[120] Cohen, Hell. settlements 1,295–299.

[121] Zur Bildung phrygischer Toponyme und der entsprechenden Ethnika s. oben δ 85 mit Anm. 95.

105 Δόλβα· πόλις τῆς Ἀδιαβηνῆς, Ἀρριανὸς ιγ Παρθικῶν (FGrHist 156 F 43). τὸ ἐθνικὸν Δολβαῖος καὶ Δολβηνός.

106 Δολίονες· οἱ τὴν Κύζικον οἰκοῦντες, οὓς Δολιέας εἶπεν Ἑκαταῖος (FGrHist 1 F 219). λέγονται καὶ Δολιόνιοι, καὶ θηλυκῶς Δολιονία.

10 **107 Δολίχη**· νῆσος πρὸς τῇ Λυκίᾳ, ὡς Καλλίμαχος (Dian. 187). Ἀλέξανδρος ἐν τῷ Λυκίας περίπλῳ (FGrHist 273 F 65) Δολιχίστην αὐτήν φησιν. ἔστι καὶ Δολίχη πόλις τῆς Κομμαγηνῆς. ἐθνικὸν Δολιχαῖος Ζεύς· οἱ δ' ἐπιχώριοι Δολιχηνοί λέγονται. τῆς δὲ Λυκιακῆς Δολίχης Δολιχεύς. ὁ γὰρ τύπος συνήθης τοῖς Λυκίοις. τῆς δὲ Δολιχίστης Δολιχιστεύς.

16 **108 Δόλογκοι**· ἔθνος Θρᾴκης, ἀπὸ Δολόγκου τοῦ ἀδελφοῦ Βιθυνοῦ. τὸ ἐθνικὸν Δολόγκιος καὶ Δολογκιάς καὶ Δολογκιάδης.

109 Δόλοπες· ἔθνος Θεσσαλῶν ἔγγιστα, ἀπὸ Δόλοπος. ἡ χώρα Δολοπία καὶ Δολοπηίς.

21 **110 Δομετιούπολις**· Ἰσαυρίας πόλις. ὁ πολίτης Δομετιοπολίτης.

---

106 Str. 12,4,4 (C 564,13) ἔτι Δολιόνων τῶν περὶ Κύζικον; St. Byz. 391,6 Ὅμηρος δὲ τοὺς κατοικοῦντας Κύζικον Δολίονάς φησιν   A. R. 1,1029 Δολιονίῳ … δήμῳ et 1070 Δολιονίῃσι γυναιξὶν   regio Δολιονία appellatur in Sch. A. R. 1,1114–15b, sed Δολιονίς apud Str. 12,8,11 (C 576,11) πρὸς δὲ τῇ Δολιονίδι; 14,5,29 (C 681,19); Plin. nat. 5,142 *Dolionis*   **107** Call. Dian. 187 νήσων μὲν Δολίχη, πολίων δέ τοι εὔαδε Πέργη; Ptol. Geog. 5,3,9 (5,3,6) Νῆσοι δὲ παράκεινται τῇ Λυκίᾳ· Μεγίστη νῆσος, Δολιχίστη νῆσος, …   de accentu Ps.-Arc. 133,15 τὰ εἰς χη παραληγόμενα ι βαρύνεται· Δολίχη (νῆσος, δολιχή δὲ ἡ μακρά), …, Eust. ad B 625 (I 474,1) ἔστι δέ, φασί (immo φησὶν ὁ τὰ Ἐθνικὰ ἐκθεὶς), καὶ νῆσος Δολιχὴ πρὸς τῇ Λυκίᾳ, ἣν καὶ Δολιχίστην ἔλεγον. τάχα δέ, ὡς καὶ παρὰ τὸ μακρόν ἡ Μάκρις τε καὶ ἡ Μάκρη, οὕτω καὶ παρὰ τὸ δολιχόν ἡ Δολίχη   urbs Commagenes apud Ptol. Geog. 5,15,10 (5,14,8) Κομμαγηνῆς … Δολίχη; Hierocl. 713,3   **108** Sch. Lyc. 532b-533a Δόλογκοι ἔθνος Θρᾳκικόν, ἀπὸ Δολόγκου τοῦ Κρόνου καὶ Θρᾴκης ὠνομασμένον   St. Byz. β 98 Βιθυνία· πρὸς τῷ Πόντῳ χώρα, ἀπὸ Βιθυνοῦ τοῦ Διὸς καὶ Θρᾴκης τῆς Τιτανίδος, ἢ ἐκ μὲν Διὸς ἔσχε Βιθυνόν, ἐκ δὲ Κρόνου Δόλογκον, vide adn. 85; St. Byz. θ 56   **109** Eust. ad I 484 (II 768,23) Ἐσχατιὰ δὲ παρὰ μὲν τῷ ποιητῇ τὸ ἁπλῶς ἔσχατον κατὰ τόπον μέρος, … Δόλοπες δὲ ἔθνος Θετταλικὸν ἐν ἐσχατιᾷ τῆς Φθίας. καὶ οὗτοι μὲν Δόλοπες ἀπό τινος ἐθνάρχου Δόλοπος   Δολοπία e.g. Th. 2,102,2; Str. 9,5,17 (C 437,17), Δολοπηίς apud A. R. 1,68 Κτιμένην Δολοπηίδα, quam Stephanus s.v. Κτιμένη (389,1) laudat   **110** Const. Porph. Them. XIII 18 Δομετιούπολις, Ptol. Geog. 5,8,5 (5,7,5) Δομιτιόπολις

---

105 1 ἀδιαβηνῆς Q: ἀδαβηνῆς R, ἀβιαδηνῆς PN   **106** 1 <περὶ> τὴν Berkel (e Str., at cf. St. Byz. 391,6)   δολιαίας R   2 θηλυκὸν R   **107** 1 Δολίχη Meineke: Δολιχή RQPN   3 φησιν R: φασιν QPN   ἔστι δὲ καὶ N   Δολίχη Pinedo (e Ptol. Geog.): δολιχινὴ R, δολιχηνὴ QPN   4 δολιχηνοί λέγονται RQPN: Δολιχηνοί λέγουσι dub. Meineke, Δολιχηνός λέγουσιν Grumach   Δολίχης Meineke: δολιχῆς RQPN   **110** δομετιουπολίτης R

105. Dolba, Stadt in der <Landschaft> Adiabene; Arrian <erwähnt sie> im dreizehnten Buch der *Parthika* (FGrHist 156 F 43). Das Ethnikon <lautet> Dolbaier und Dolbener.

106. Dolionen, die Bewohner von Kyzikos, welche Hekataios (FGrHist 1 F 219) Dolieer genannt hat. Sie heissen auch Dolionier, und im Femininum <sagt man> Dolionierin.

107. Doliche, Insel vor <der Küste> Lykiens,[122] wie Kallimachos (Dian. 187) <angibt>. Alexander (Polyhistor) nennt sie im *Periplus Lykiens* (FGrHist 273 F 65) Dolichiste. Es gibt auch Doliche, eine Stadt in der Kommagene.[123] Als Ethnikon <dient die Form> Dolichaios <im Beinamen> für Zeus.[124] Die Einheimischen hingegen nennen sich Dolichener. Zur lykischen <Insel> Doliche <bildet man das Ethnikon> Dolicheer. Denn dieser Bildungstypus ist für die Lykier gewöhnlich.[125] Zu Dolichiste aber <bildet man> Dolichisteer.

108. Dolonker, Volk in Thrakien, nach Dolonkos <benannt>, dem Bruder des Bithynos. Das Ethnikon <lautet> Dolonkier und <im Femininum> Dolonkiadin sowie Dolonkiade.

109. Doloper, Volk am nächsten bei den Thessaliern, nach Dolops <benannt>. Ihr Land <heisst> Dolopien und Dolopeïs.

110. Dometiupolis (Stadt des Domitius), Stadt in Isaurien. Der Bürger <heisst> Dometiopolit.[126]

---

122 TIB 8,2,581–584.

123 Cohen, Hell. settlements 2,155–156.

124 Bereits Berkel machte darauf aufmerksam, dass die gewöhnliche Epiklese des Zeus Δολιχηνός bzw. *Dolichenus* lautet (dazu s. RE V 1,1276–1281; RE XIX 300,30), auch wenn Διὶ Δολιχαίῳ aus Dionysopolis in Mösien belegt ist (IGBulg I^{2} 24[2]). Es stellt sich daher die Frage, ob Stephanos nicht eher den Beinamen Δολιχηνός gegeben hat und diesen mit dem Hinweis auf eine epichorische Form erklärte, also im Sinn von: „Das Ethnikon lautet Δολιχαῖος. Die Einheimischen aber nennen Zeus mit Beinamen Δολιχηνός". Zum Kult s. M.P. Speidel, The religion of Iuppiter Dolichenus in the Roman army. EPRO 63 (Leiden 1978).

125 Dazu s. St. Byz. α 21 (11,17).

126 Dazu s. Fraser, Ethnic terminology 176.

111 Δονουσία· νῆσος μικρὰ Ῥόδου, εἰς ἣν Διόνυσος ἐκ Νάξου τὴν Ἀριάδνην μετεκόμισε, τοῦ πατρὸς Μίνω διώκοντος αὐτήν. ἔοικεν οὖν
236 Διονυσία εἶναι, καὶ κατὰ παραφθορὰν Δονουσία. τὸ ἐθνικὸν Δονούσιος.

112 Δορίειον· Φρυγίας πόλις. τὸ ἐθνικὸν Δοριεύς ὡς Γορδιεύς.

113 Δορίσκος· πόλις Θρᾴκης καὶ πεδίον. τὸ ἐθνικὸν Δορίσκιος ὡς Βορμίσκιος.

114 Δοροκόττορος· πόλις Γαλατῶν τῶν προσβόρρων. ὁ οἰκῶν Δοροκοττόριος.

115 Δορυλάειον· πόλις Φρυγίας, ὃ καὶ Δορύλαιον Δημοσθένης (FGrHist 699 F 13) φησί. τὸ ἐθνικὸν Δορυλαεύς.

---

111 Eust. D. P. 530 (p. 320,34) Σποράς δὲ καὶ ἡ πρὸς τῇ Ῥόδῳ Δονουσία, ἥτις παραφθορὰν ἔπαθεν· οἱονεὶ γὰρ Διονυσία τίς ἐστιν, ἐπεὶ Διόνυσος τὴν Ἀριάδνην εἰς αὐτὴν ἐκ τῆς Νάξου ἤγαγεν, Μίνωος τοῦ πατρὸς διώκοντος αὐτήν; cf. etiam Sch. D. P. 132 (p. 437a18) Δονοῦσα et 530 (p. 451a16) Δόνουσα τῆς Ναξίας ἐγγύς *Donusa* apud Verg. Aen. 3,125; Plin. nat. 4,69; Tac. ann. 4,30,1; *Dionysia* apud Melam 2,111 **113** Hdt. 7,59,1 ὁ δὲ Δορίσκος ἐστὶ τῆς Θρηίκης αἰγιαλός τε καὶ πεδίον μέγα, διὰ δὲ αὐτοῦ ῥέει ποταμὸς μέγας Ἕβρος· ἐν τῷ τεῖχός τε ἐδέδμητο βασιλήιον τοῦτο τὸ δὴ Δορίσκος κέκληται St. Byz. β 125 Βορμίσκος· …. τὸ ἐθνικὸν Βορμίσκιος ὡς Τριποδίσκιος Δορίσκιος, ἐν τοῖς οἰκείοις τόποις εὑρήσεις **115** St. Byz. γ 99 Γορδίειον· …. τὸ ἐθνικὸν Γορδιεύς, ὡς Κοτιάειον Κοτιαεύς, Δορυλάειον Δορυλαεύς Eust. D. P. 815 (p. 360,41) vide ad δ 104, cf. Const. Porph. Them. IV 28 Suid. δ 1396 Δορυλάειον· τόπος. καὶ Δορύλαιον, τόπος, Zonar. p. 564 Δορυλάειον, Δορύλειον, καὶ Δορύλαιον. τόπος

---

111 1 Δονουσία RQPN Eust.: „ex Δόνουσα (Δονοῦσσα) corruptum" Meineke in app. Νάξου Xylander: νάσου RQPN 3 παραφθορὰν RPN: περὶ φθορὰν Q **112** Δοριεύς Holste: δοριειεύς RQPN, Δοριειεύς, <ἢ Δοριεύς> Grumach **113** 2 Βορμίσκιος Holste (e St. Byz.): βορμίσκιος RQPN **114** 1 Δοροκόττορος QP: -κόττερος N, -κότωρος R προσβόρρων Q: -βόρων RPN δοροκοττόριος N: δοροττόριος R, δοριωττόριος QP **115** 1 δορύλαιον PN: δορυλὰς R, δορυλαὶ Q, Δορυλάιον metri causa poetam Bithynum dixisse susp. Meineke

111. Donusia, kleine (Kykladen-)Insel der Rhodier, wohin Dionysos Ariadne von Naxos aus hingebracht hat, als ihr Vater Minos sie verfolgte. Offensichtlich sollte <der Name> also Dionysia lauten, und <daraus ist> durch lautliche Entstellung <die Form> Donusia <entstanden>. Das Ethnikon <lautet> Donusier.

112. Dorieion, Stadt in Phrygien.[127] Das Ethnikon <lautet> Dorieer, <gebildet> wie Gordieer.[128]

113. Doriskos, Stadt und Ebene in Thrakien.[129] Das Ethnikon <lautet> Doriskier, <gebildet> wie Bormiskier.

114. Dorokottoros, Stadt der nördlichen Galater. Der Einwohner <heisst> Dorokottorier.

115. Dorylaeion, Stadt in Phrygien,[130] welche Demosthenes (FGrHist 699 F 13) auch Dorylaion nennt. Das Ethnikon <lautet> Dorylaeer.

---

[127] Zgusta, Kleinasiatische Ortsnamen § 271–2.

[128] Die Analogie mit dem einstimmig überlieferten Γορδιεύς zeigt, dass Stephanos hier den phrygischen Ableitungstypus anwendet, wie er ihn in γ 99 und δ 22 bespricht; Holstes Konjektur drängt sich also auf, soll die Auskunft in der Epitome stimmig sein. Hingegen zeigt die Überlieferung Δοριειεύς, dass ursprünglich auch der gewöhnliche Kanon zur Sprache gekommen sein muss; entsprechend erwog Meineke die Ergänzung τὸ ἐθνικὸν Δοριειεύς <ὡς Σιγειεύς, ἢ Δοριεύς> ὡς Γορδιεύς.

[129] Inventory S. 871.

[130] Zgusta, Kleinasiatische Ortsnamen § 272; Cohen, Hell. settlements 1,299.

116 Δουλίχιον· μία τῶν Ἐχινάδων νήσων, ἡ καὶ Δολίχα καλουμένη· καὶ Ὀξεῖαι, ἃς θοὰς ὁ ποιητὴς (ο 299) εἶπεν. ἀπὸ Δουλιχίου τοῦ Τριπ-
237 τολέμου. ὁ πολίτης Δουλιχιεύς καὶ Δουλιχιώτης ἀπὸ τοῦ Δουλιχίη κατὰ τροπὴν <καὶ> Δουλιχιήτης καὶ Δουλιχίς. ἐλέγοντο καὶ οἱ ἐν τῷ Δουλιχίῳ Ἐπειοί, ὡς Ἐπαφρόδιτος (fr. 22 Braswell/Billerbeck = fr. 24 Lünzner) παρατιθεὶς τὸν Ἀρίσταρχον ἐκδεχόμενον οὕτως.

---

116 Od. 15,299 ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν et Sch. HV ad loc. μεταληπτικὸν ἐκ τοῦ κατὰ κίνησιν ὀξέος ἐπὶ τὸ κατὰ σχῆμα, similiter Eust. ad ο 297 (II 100,2) ἐνταῦθα δὲ μέμνηται καὶ θοῶν νήσων, εἰπών· „ἔνθεν δ' αὖ νήσοισιν ἐπιπροέηκε θοῇσιν". αἱ δὲ τοιαῦται τῶν Ἐχινάδων εἰσὶ, καθὰ καὶ τὸ Δουλίχιον τὸ πρὸ ὀλίγου ῥηθὲν, ὡς ὁ Γεωγράφος φησὶν, ὃς καὶ πλησιάζειν αὐτὰς λέγει τῷ Κορινθιακῷ κόλπῳ. περὶ δὲ θοῶν νήσων ἀκριβῶς ἐν τοῖς εἰς τὴν Βοιωτίαν γέγραπται. θοαὶ δέ, φασί, νῆσοι, μεταληπτικῶς αἱ λεγόμεναι ὀξεῖαι. δῆλον δὲ ὅτι τὸ θοὸν καὶ ἐπὶ τοῦ ὀξέως τίθεται, ὅθεν καὶ θοῶσαι τὸ ἀποξῦναι, ὡς τὸ, ἐγὼ δ' ἐθόωσα παραστάς   Str. 10,2,19 (C 458,6) Καὶ ταύτης δὲ καὶ τῆς Κεφαλληνίας πρὸς ἕω τὰς Ἐχινάδας ἱδρῦσθαι νήσους συμβέβηκεν. ὧν τό τε Δουλίχιόν ἐστι – καλοῦσι δὲ νῦν Δολίχαν – καὶ αἱ Ὀξεῖαι καλούμεναι, ἃς θοὰς (Θοὰς Radt) ὁ ποιητὴς (ο 299) εἶπε. καὶ ἡ μὲν Δολίχα κεῖται κατὰ Οἰνιάδας καὶ τὴν ἐκβολὴν τοῦ Ἀχελῴου …, αἱ λοιπαὶ δ' Ἐχινάδες – πλείους <δ'> εἰσί, πᾶσαι λυπραὶ καὶ τραχεῖαι – πρὸ τῆς ἐκβολῆς τοῦ Ἀχελῴου   Il. 2,625–626 οἳ δ' ἐκ Δουλιχίοιο Ἐχινάων θ' ἱεράων | νήσων, Sch. A ad B 625a, Eust. ad B 625 (I 473,27) ὁ δὲ τὰ Ἐθνικὰ ἐκθεὶς λέγει μὲν καὶ αὐτός, ὅτι τὸ Δουλίχιον καὶ Δολίχα καλεῖται· προστίθησι δέ, ὅτι καὶ ὀξεῖα λέγεται, ἣν πληθύνας θοάς, φησίν, ὁ ποιητὴς εἶπε. καὶ ἰδοὺ καινὸν τοῦτο καὶ παρὰ τὴν τῶν πολλῶν δόξαν, εἴπερ αἱ Ὁμηρικαὶ θοαὶ νῆσοι οὐ πολλαί εἰσιν, ἀλλὰ μία κατὰ τοῦτον ἡ ῥηθεῖσα Δολίχα. καλεῖται δὲ Δουλίχιον ἀπὸ Δολιχίου, φασίν, υἱοῦ Τριπτολέμου. ἔστι δέ, φασί, καὶ νῆσος Δολιχὴ πρὸς τῇ Λυκίᾳ, ἣν καὶ Δολιχίστην ἔλεγον. τάχα δέ, ὡς καὶ παρὰ τὸ μακρόν ἡ Μάκρις τε καὶ ἡ Μάκρη, οὕτω καὶ παρὰ τὸ δολιχόν ἡ Δολίχη   gentile Δουλιχιεύς passim apud St. Byz., e.g. α 34, α 164, α 361; Δουλιχιῶται apud Sch. AT ad N 824c   Sch. T ad N 691–2 Ἀρίσταρχος δὲ καὶ τοὺς ἐκ Δουλιχίου Ἐπειοὺς καλεῖ

---

116 1 Δολίχα Meineke: δόλιχα RQPN   2 ἃς Pinedo: ἣν RQPN   θοὰς Braswell (Θοὰς mon. Pinedo, sed cf. ad Epaphr. fr. 22,2): θόας RQPN   3 δουλιχιεύς R: δολ- QPN   Δουλιχίη Xylander: δολ- RQPN   4 <καὶ> Berkel   δουλιχίς RQP^{ac}: δουλιχεῖς P^{pc}N

116. Dulichion, eine der Echinadeninseln <und zwar das Eiland>, das auch Dolicha heisst. <Zu dieser Inselgruppe gehören> ferner die Oxeiai, welche der Dichter spitz genannt hat (Od. 15,299). <Dulichion ist> nach Dulichios <benannt>, dem Sohn des Triptolemos. Der Bürger <heisst> Dulichieer und Dulichiot, <abgeleitet> von der Namensform Dulichie, mit Lautwandel, sowie Dulichiet; und <die Bürgerin heisst> Dulichidin. Man bezeichnete ausserdem die Leute, welche auf Dulichion wohnen, als Epeier, wie Epaphroditos (fr. 22 Braswell/Billerbeck = fr. 24 Lünzner) <festhält>, wobei er Aristarch anführt, der dieser Auffassung folgt.[131]

[131] Zu diesem Artikel ausführlich Braswell/Billerbeck, Epaphroditus 178–181.

117 Δούλων πόλις· πόλις Λιβύης, Ἑκαταῖος ἐν Περιηγήσει (FGrHist 1 F 345) <***> „καὶ ἐὰν δοῦλος εἰς τὴν πόλιν ταύτην λίθον προσενέγκῃ, ἐλεύθερος γίνεται, κἂν ξένος ᾖ“ (Anonymus). ἔστι καὶ ἑτέρα Ἱεροδούλων, ἐν ᾗ εἷς μόνος ἐλεύθερός ἐστι. φασὶ καὶ κατὰ Κρήτην Δουλόπολιν εἶναι χιλίανδρον. σημειωτέον δ’ ὅτι Κρατῖνος ἐν Σεριφίοις (fr. 223 Kassel/Austin [PCG IV 236]) πόλιν δούλων φησίν, Ἀπολλωνίου (GG II 3,63,36–41) φήσαντος μὴ δεῖν ταύτας τὰς παραθέσεις ἐναλλάσσειν δίχα ποιητικῆς ἀνάγκης, ὥς φησι Κρατῖνος (loc. cit.)

εἶτα Σάβας ἀφικνῇ καὶ Σιδονίους καὶ Ἐρεμβούς,
ἔς τε πόλιν δούλων ἀνδρῶν νεοπλουτοπονήρων.

ἔστι καὶ χωρίον ἐν Αἰγύπτῳ Δουλόπολις, ὥς φησιν Ὀλυμπιανός (FGrHist 676 F 3). τὸ ἐθνικὸν Δουλοπολίτης.

118 Δούμαθα· πόλις Ἀραβίας. ὁ πολίτης Δουμαθηνός, ὡς Γλαῦκος ἐν β̅ Ἀραβικῆς ἀρχαιολογίας (FGrHist 674 F 2).

119 Δοῦρα· πόλις Μεσοποταμίας, ὡς Πολύβιος ε̅ (5,52,2). τὸ ἐθνικὸν Δουρηνός.

120 Δουρίοπος· πόλις Μακεδονίας. Στράβων ζ̅ (7,7,8 [C 326,19]). οὕτως καὶ ἡ χώρα.

---

117 Phot. δ 729 (= Suid. δ 1423) Δούλων πόλις· ἐν Λιβύῃ. Ἔφορος πέμπτῃ (FGrHist 70 F 50). καὶ ἑτέρα ἱεροδούλων, ἐν ᾗ εἷς ἐλεύθερός ἐστιν. ἔστι δὲ καὶ ἐν Κρήτῃ Δουλόπολις, ὡς Σωσικράτης <ἐν τῇ πρώτῃ τῶν Κρητικῶν> (FGrHist 461 F 2). ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣ Φίλιππόν φασι συνοικίσαι τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα συκοφάντας, ψευδομάρτυρας καὶ τοὺς συνηγόρους καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους, ὡς Θεόπομπος ἐν ι̅γ̅ τῶν Φιλιππικῶν (FGrHist 115 F 110) φησι Mnase. fr. 46c Cappelletto (= Prov. coll. Coisl. 214 = CPG I 411,9) ἔστι καὶ δούλων πόλις· ἐπὶ τῶν πονηρῶς πολιτευομένων. Μνασέας γὰρ γράφει εἶναι δούλων πόλιν ἐν Λιβύῃ **118** Ptol. Geog. 5,19,7 (5,18) Δουμαίθα (v.l. Δούμεθα); Plin. nat. 6,157 *Domata* **119** Plb. 5,48,16 τὴν δὲ Μεσοποταμίαν (sc. κατέσχε) ἕως Δούρων, et 5,52,2; feminini generis apud Amm. 25,6,9 *civitatem nomine Duram* **120** Str. 7,7,8 (C 326,19) ἡ Δευρίοπος et 7,7,9 (C 327,17) αἱ τῶν Δευριόπων πόλεις; cf. St. Byz. 390,11

---

117 2 ante καὶ ἐὰν – ξένος ᾖ lac. indic. Jacoby, qui ipsa verba non Hecataei, sed Ephori esse susp. 3 ξεῖνος (ῑ supra scr.) R^{pc} 7 δεῖν QP^{pc}N: δεῖ RP^{ac} 9 Σάβας Holste (cl. D. P. 959): σάκας RQPN Σιδονίους Xylander: σιδων- RQPN 10 δούλων om. PN

117. Dulonpolis (Sklavenstadt), Stadt in Libyen; Hekataios <erwähnt sie> in der *Periegese* (FGrHist 1 F 345) <***> „Und hat ein Sklave einen Stein in diese Stadt hineingetragen, wird er zu einem Freien gemacht, selbst wenn es sich um einen Fremden handelt" (Anonymus). Es gibt auch noch ein Hierodulonpolis (Stadt der Tempelsklaven), wo nur ein einziger Freier lebt. Zudem, sagt man, gebe es auf Kreta <eine Stadt namens> Dulopolis, <bewohnt> von tausend Männern. Man muss aber anmerken, dass Kratinos in den *Seriphiern* (fr. 223 Kassel/Austin [PCG IV 236]) <den Ort nicht Δούλων πόλιν, d.h. Sklavenstadt, sondern> eine Stadt von Sklaven (πόλιν δούλων) nennt; Apollonios (Dyskolos, GG II 3,63,36–41) sagt, man dürfe diese <aus zwei getrennten Wörtern bestehenden> festen Fügungen nicht ohne dichterischen (d.h. metrischen) Zwang verändern, wie Kratinos es <in seinen Versen> (a.a.O.) tut:

Dann gelangst du zu den Sabern, Sidoniern und Erembern,
schliesslich in die Stadt von Sklaven, von Männern, neureichen Gaunern.[132]

Es gibt auch eine Örtlichkeit <namens> Dulopolis in Ägypten, wie Olympianos (FGrHist 676 F 3) berichtet.[133] Das Ethnikon <lautet> Dulopolit.

118. Dumatha, Stadt in Arabien. Der Bürger <heisst> Dumathener, wie Glaukos im zweiten Buch der *Arabischen Altertumskunde* (FGrHist 674 F 2) <angibt>.

119. Dura, Stadt in Mesopotamien, wie Polybios im fünften Buch (5,52,2) <angibt>.[134] Das Ethnikon <lautet> Durener.

120. Duriopos, Stadt in Makedonien. Strabon <erwähnt sie> im siebten Buch (7,7,8 [C 326,19]). So <heisst> auch das Umland.[135]

---

[132] Welche Quelle Stephanos hier ausgeschrieben hat, ist nicht mehr auszumachen. Herkunft aus dem 5. Historienbuch des Ephoros, wie von Jacoby vermutet, und aus dem *Periplus* des Mnaseas ist wahrscheinlich (s. Similia). Hinter dem Toponym Δούλων πόλις verbirgt sich eine zweistrangige Tradition, nämlich einerseits eine (negative) komisch-utopische, die sich vom Grundsatz ableitet, dass nur Freie eine Polis haben (vgl. Arist. Pol. 1283a18–19); andererseits bezeugen Historiker und Geographen die Existenz von Städten namens Δουλόπολις. Kratinos folgte ohne Zweifel der ersteren. Wenn dann der Grammatiker Apollonios Dyskolos bemüht wird, die Umstellung πόλιν δούλων aus metrischem Zwang zu erklären, regt sich der Verdacht, ein Epitomator habe hier den ursprünglichen Text arg gerafft und das komische Zitat – entgegen der Absicht des Lexikographen – der (positiven) historisch-geographischen Tradition zugeordnet. Für ausführliche Diskussion s. Cappelletto, Frammenti di Mnasea 307–312.

[133] Name und Identität dieses Gewährsmannes sind umstritten; Stephanos zitiert ihn nochmals 598,4 Ὀλυμπιανὸς ἐν Ἀραβικοῖς. Doch ist dort die Überlieferung schwankend (Οὐλυμπιανός R, Οὐράνιος Q, Οὐλπιανός PN). Im Anschluss an Salmasius identifizierte Holste ihn mit Olympianos, Bischof von Byzanz (187–198); nicht ohne Vorbehalt schreibt Jacoby die Fragmente einem der in der Suda (ο 911 und 912) aufgenommenen Sophisten und Rhetoren namens Ulpianos zu; s. ferner RE IX A 1,569 Nr. 3.

[134] Cohen, Hell. settlements 2,162, wo diese Ortschaft auf dem Ostufer des Tigris von Dura Europos in Parapotamia unterschieden wird.

[135] Gegen die Namensform Δευρίοπος bei Strabon, wird Δουρίοπος hier durch die alphabetische Reihenfolge gestützt. Stephanos' Erwähnung derselben Stadt im Artikel Κύδραι (390,11) gibt nichts aus, da die Überlieferung dort schwer gestört ist; ähnliches gilt für Liv. 39,53,14 *Derriopus.*

121 Δουσαρή· σκόπελος καὶ κορυφὴ ὑψηλοτάτη Ἀραβίας. εἴρηται δὲ ἀπὸ τοῦ Δουσάρου. θεὸς δὲ οὗτος παρὰ Ἄραψιν καὶ Δαχαρηνοῖς τιμώμενος. οἱ οἰκοῦντες Δουσαρηνοί ὡς Δαχαρηνοί.

238 **122 Δραβῆσκος**· Θρᾴκης χωρίον, Θουκυδίδης α̅ (1,100,3). τὸ ἐθνικὸν Δραβήσκιος.

123 Δράγγαι· ἔθνος Περσικῆς. Στράβων ι̅ε̅ (15,2,5 [C 721,33] etc.). τὸ θηλυκὸν Δραγγηίς, ἡ χώρα Δραγγηνή, ὡς ἔθος. Σωφηνή γὰρ καὶ Ἀραξηνή.

124 Δραγμός· πόλις Κρήτης, ὡς Ξενίων ἐν τοῖς Κρητικοῖς (FGrHist 460 F 4). τὸ ἐθνικὸν Δράγμιος ἢ Δραγμίτης, ὅπερ ἄμεινον.

125 Δράκονον· ὄρος νήσου τῆς Ἰκαρίας λεγομένης καὶ πόλις. Στράβων ι̅δ̅ (14,1,19 [C 639,11]). τὸ ἐθνικὸν Δρακόνιος ὡς Μυκόνιος, καὶ Δρακονεύς.

126 Δράκοντος νῆσος· Λιβύης, ὡς Πολυίστωρ ἐν γ̅ Λιβυκῶν (FGrHist 273 F 38). ὁ νησιώτης Δρακοντονήσιος ἢ Δρακοντονησίτης.

---

121 Ptol. Geog. 6,7,23 (Arabia Felix) Μιναῖοι μέγα ἔθνος, ὑφ’ οὓς Δωσαρηνοί (A, Δωρηνοί Ω)   Hsch. δ 2277 Δουσάρην· τὸν Διόνυσον. Ναβαταῖοι, ὥς φησι Ἰσίδωρος (FGrHist 781 F 5)   cf. St. Byz. δ 20   **122** Th. 1,100,3 ἐν Δραβήσκῳ (codd., -ησκῷ Hude), sed 4,102,2 ἐν Δραβησκῷ (v.l. Δραβήσκῳ); Str. 7 fr. 16b Δραβῆσκος, D. S. 12,68,2 περὶ Δράβησκον   Ps.-Arc. 58,20 τὰ εἰς σκος ι ἢ υ παραληγόμενα παροξύνεται· σατυρίσκος … τὸ μέντοι Δαμασκός καὶ Ἀρδησκός ὀξύνεται, ἰῶτα οὐκ ἔχοντα   **123** regionis nomen Δραγγιανή apud Str. 11,10,1 (C 516,3); Ptol. Geog. 6,19,1 et 8,25,1; Marcian. Peripl. 1,31 (GGM 1,533,22), sed Δραγγηνή apud Plb. 11,34,13   de canone cf. St. Byz. 251,5; 398,2; 477,5   **125** Str. 14,1,19 (C 639,3) Παράκειται δὲ τῇ Σάμῳ νῆσος Ἰκαρία, ἀφ’ ἧς τὸ Ἰκάριον πέλαγος. … ἔστι δὲ καὶ Ἀρτέμιδος ἱερόν, καλούμενον Ταυροπόλιον, ἐν τῇ νήσῳ καὶ πολισμάτιον Οἰνόη καὶ ἄλλο Δράκανον ὁμώνυμον τῇ ἄκρᾳ ἐφ’ ᾗ ἵδρυται, πρόσορμον ἔχον; cf. etiam Euph. fr. 2 Lightfoot (= fr. 141 Powell) et Nonn. D. 9,16 Δρακάνοιο, D. S. 3,66,3   Hsch. δ 2304 Δρακάνιον· ὄρος Ἰκαρίας   **126** Ptol. Geog. 4,3,44 (4,3,12) Δρακόντιος νῆσος

---

122 Δραβῆσκος RQPN: Δραβησκός dub. Meineke   α̅ om. PN   δὲ ante ἐθνικὸν add. PN   **123** 1 Δράγκαι R   2 Δραγγηνή Meineke: δραγγανή RQPN, Δραγγιανή Berkel   ἔθος R[pc]QP[pc]N: ἔθνος R[ac]P[ac]   Σωφηνή et Ἀραξηνή L. Dindorf: σωφηνοί QPN, σο- R et ἀραξηνοί RQP, ἀραξανοί N   **124** 2 δράγμιος RQP: δράγμος N   **125** 1 Δράκονον RQPN Ald.: Δράκανον Holste (e Str.)   2 δρακόνιος Q[ac]PN Ald.: δρακώνιος RQ[pc]   ὡς μυκόνιος N Ald.: ὡς μυκώνιος QP, om. R   3 δρακονεύς Ald.: δρακανεύς RQPN   **126** 1 Δράκοντος νῆσος RQ: Δράκοντος, νῆσος PN

121. Dusare, Fels und höchster Gipfel Arabiens. Er ist nach Dusares benannt. Dieser wird bei den Arabern und Dacharenern als <Staats->Gott verehrt.[136] Die Anwohner <heissen> Dusarener, <gebildet> wie Dacharener.

122. Drabeskos, Örtlichkeit in Thrakien;[137] Thukydides <erwähnt sie> im ersten Buch (1,100,3). Das Ethnikon <lautet> Drabeskier.

123. Dranger, Volk in Persien;[138] Strabon <erwähnt sie> im fünfzehnten Buch (15,2,5 [C 721,33] usw.). Das Femininum <lautet> Drangeïdin, <und> die Landschaft <heisst> Drangene, wie es Landesbrauch ist. Denn <man sagt auch> Sophene und Araxene.[139]

124. Dragmos, Stadt auf <der Insel> Kreta,[140] wie Xenion in den *Kretika* (FGrHist 460 F 4) <berichtet>. Das Ethnikon <lautet> Dragmier oder Dragmit, was besser ist.

125. Drakonon, Berg und Stadt auf der Insel, die Ikaria heisst. Strabon <erwähnt beides> im vierzehnten Buch (14,1,19 [C 639,11]). Das Ethnikon <lautet> Drakonier, <gebildet> wie Mykonier, und Drakoneer.[141]

126. Drakontos-Nesos (Dracheninsel), <Eiland vor der Küste> Libyens, wie (Alexander) Polyhistor im dritten Buch der *Libyka* (FGrHist 273 F 38) <sagt>. Der Inselbewohner <heisst> Drakontonesier oder Drakontonesit.

---

[136] Darüber ausführlich U. Hackl/H. Jenni/Chr. Schneider, Quellen zur Geschichte der Nabatäer. NTOA 51 (Freiburg/Göttingen 2003) 77–84; 86–92 und 232.

[137] Inventory S. 856.

[138] Herodot nennt dasselbe Volk Σαράγγαι (3,93,2. 117,1), und Arrian variiert zwischen Δράγγαι (An. 3,21,1), Ζαράγγαι (An. 6,17,3. 27,3 und 7,6,3) und Ζαραγγαῖοι (An. 3,25,8); s. RE V 2,1665–1667.

[139] L. Dindorfs Korrektur Σωφηνή und Ἀραξηνή als Analogie zu Δραγγηνή ist gewiss gerechtfertigt, erklärt sich doch die unerwartete Verwendung der überlieferten Ethnika im maskulinen Plural (Σωφηνοί und Ἀραξηνοί) im Licht der Korruption ὡς ἔθνος (R^{ac} und P^{ac}) leicht als falsche Angleichung durch den Epitomator. Aus dieser Sicht ist wohl auch Meinekes Verbesserung Δραγγηνή zu folgen, weil nur dadurch das analoge epichorische Suffix -ηνός wiederhergestellt wird.

[140] Inventory Nr. 955.

[141] Der Artikel weist, wie er überliefert ist, einige Ungereimtheiten auf. Einerseits lautet das Toponym sowohl beim Quellenautor Strabon als auch sonst Δράκανον. Dass auch Stephanos dieser Namensform folgte, liesse sich möglicherweise aus dem alternativen Ethnikon Δρακανεύς (RQPN) schliessen, welches dann in der Aldina dem Lemma Δράκονον entsprechend angeglichen wurde (Δρακονεύς). Andererseits legt es die Analogie des ersten Ethnikons Δρακόνιος mit Μυκόνιος (von Μύκονος) nahe, dass zumindest der Epitomator von der Namensform Δράκονον ausging, ein Schluss, welcher durch die Überlieferung Δρακώνιος (RQ^{pc}) ὡς Μυκώνιος (QP, om. R) Gewicht erhält. Die Version der Aldina verrät die Hand eines Korrektors, der das Ganze ins Lot brachte. Was Stephanos tatsächlich geschrieben hat, ist nicht mehr mit Sicherheit auszumachen; Grumach erwog <λέγεται καὶ Δράκανον, ὡς> Στράβων.

127 Δρεπάνη· ἡ Φαιακία. τὸ ἐθνικὸν Δρεπανεύς ὡς Σχεριεύς. ἔστι καὶ πόλις Λυκίας Δρεπάνα. ὁ πολίτης ὁμοίως. καὶ Δρέπανα οὐδετέρως, πόλις Σικελίας. ἔστι καὶ Δρέπανον πόλις Λιβύης. εἰσὶ καὶ νησία δύο παρὰ Λέβινθον. ἔστι καὶ Δρεπάνη Βιθυνίας πρὸς τῷ Ἀστακηνῷ κόλπῳ. ἔστι καὶ ὄρος Αἰθιοπίας. τὴν δὲ Βιθυνίας <Δημοσθένης> (FGrHist 699 F 14 = fr. 14 Powell) φησὶν ὠνομάσθαι, ὅτι „Δρεπάνην κλείουσιν ἀπὸ
239 Κρονίδαο σιδήρου“. τὸ ἐθνικὸν Δρεπανεύς, καὶ θηλυκὸν Δρεπανηίς.

128 Δρεσία· πόλις Φρυγίας. Διονύσιος ἐν Βασσαρικῶν $\overline{\gamma}$ (fr. 3 Livrea = fr. 3 Heitsch) „Βούδειαν Δρεσίην τε καὶ οἳ μηλώδεα γαῖαν“. τὸ ἐθνικὸν Δρεσιεύς.

129 Δρῖλαι· συνοικία τῆς Ποντικῆς, Τραπεζοῦντος οὐ πόρρω, ὡς Ξενοφῶν ἐν Ἀναβάσεως $\overline{\varepsilon}$ (5,2,1).

130 Δριλών· πόλις μεγάλη, ἐσχάτη τῶν Κελτικῶν. τὸ ἐθνικὸν Δριλώνιος, ὡς Θεόπομπος $\overline{\mu\gamma}$ (FGrHist 115 F 202).

131 Δρόγγιλον· χωρίον Θρᾴκης, Θεόπομπος Φιλιππικῶν $\overline{\theta}$ (FGrHist 115 F 83). τὸ ἐθνικὸν Δρογγίλιος.

---

127 A. R. 4,990–992 Δρεπάνη τόθεν ἐκλήισται | οὔνομα Φαιήκων ἱερὴ τροφός· ὣς δὲ καὶ αὐτοὶ | αἵματος Οὐρανίοιο γένος Φαίηκες ἔασι, cum Sch. ad loc. Sch. Lyc. (Tzetzes) 869 Ἅρπης· ἤτοι Δρέπανον καὶ ἡ Φαιακία <ἢ> Κέρκυρα καὶ ἡ Σικελία λέγεται, ἡ μὲν Κέρκυρα, ὅτι ἦν ἐκεῖ κεκρυμμένον τὸ δρέπανον, μεθ' οὗ Ζεὺς τὸν Κρόνον ἐξέτεμεν ἢ τὸ δρέπανον, ὅπερ ἡ Δημήτηρ ἔλαβε παρ' Ἡφαίστου τέμνειν τοὺς στάχυας, Δρέπανον δὲ ἡ Σικελία, ὅτι ἐκεῖ ἦν τὸ δρέπανον, μεθ' οὗ τὸν Οὐρανὸν ὁ Κρόνος ἐξέτεμε, EM 287,32, Eust. ad ε 34 (I 196,40) cf. St. Byz. 595,13 et 654,13 urbs in Sicilia sita vel (τὸ) Δρέπανον (Ptol. Geog. 3,4,4 [3,4,2]; Plin. nat. 3,88 et vide supra) vel (τὰ) Δρέπανα (D. H. 1,52,1; Plb. 1,46,2; D. S. 23 fr. 18,3) appellatur Δρέπανον Libycum apud Ptol. Geog. 4,4,3 (4,4,2); Stad. 66 (GGM 1,452,12) urbs in Bithynia sita vel Δρεπάνη (St. Byz. 536,6; Socr. Hist. eccl. 1,17–18) vel Δρέπανον (EM 287,38; Amm. 26,8,1) appellatur **128** Nonn. D. 13,511–514 Καὶ Φρύγες ἐστρατόωντο παρ' ἐγρεμόθων στίχα Λυδῶν, | οἵ τε λάχον Βούδειαν, ἀειδομένην τε πολίχνην | δενδρόκομον Τεμένειαν, ἐύσκιον ἄλσος ἀρούρης, | οἳ Δρεσίην ἐνέμοντο καὶ Ὄβριμον, … **129** X. An. 5,2,1 ἐπὶ τὸ στρατόπεδον, ἐκ τούτου λαβὼν Ξενοφῶν ἡγεμόνας τῶν Τραπεζουντίων ἐξάγει εἰς Δρίλας τὸ ἥμισυ τοῦ στρατεύματος, …. (2) οἱ δὲ Τραπεζούντιοι ὁπόθεν μὲν τὰ ἐπιτήδεια ῥᾴδιον ἦν λαβεῖν οὐκ ἦγον· φίλοι γὰρ αὐτοῖς ἦσαν· εἰς δὲ τοὺς Δρίλας προθύμως ἦγον, ὑφ' ὧν κακῶς ἔπασχον; Arr. Peripl. M. Eux. 11,1 Τραπεζουντίοις μέν, καθάπερ καὶ Ξενοφῶν λέγει, Κόλχοι ὅμοροι. καὶ οὓς λέγει τοὺς μαχιμωτάτους καὶ ἐχθροτάτους εἶναι τοῖς Τραπεζουντίοις, ἐκεῖνος μὲν Δρίλλας ὀνομάζει **131** D. 8,44 ὃς ὑπολαμβάνει τὸν Φίλιππον τῶν μὲν ἐν Θρᾴκῃ κακῶν (τί γὰρ ἂν ἄλλο τις εἴποι Δρογγίλον …), Harp. δ 79 Δρογγίλον· Θρᾳκικὸν χωρίον· Δημοσθένης Φιλιππικοῖς (8,44)

---

127 1 Σχεριεύς Holste: χειριεύς RQPN 2 Δρεπάνα Meineke: δρέπανα RQPN δρέπανα RPN: δρά- Q 4 παρὰ R: περὶ Q(per comp.)PN 5 τὴν δὲ Βιθυνίας <Δημοσθένης> φησὶν ὠνομάσθαι Meineke: τῆς δὲ βιθυνίας φασὶν ὠνομᾶσθαι Ald., τῆς δὲ βιθυνίας φησὶν ὠνομάσθη RQPN 7 θηλυκὸν RN: θηλυκῶς QP **128** 1 Βασσαρικῶν Xylander: μασσαρικῶν RQP, μεσσ- N 2 Βούδειαν Meineke (e St. Byz. β 136): βουδίαν RQPN **129** 1 Δρῖλαι Meineke: Δρυλαὶ RQPN, Δρίλαι Holste **130** 1 Δριλών Meineke: Δριλώνιος QPN, Δρυ- R **131** 1 Θρᾴκης Holste: θετταλίας RQPN

127. Drepane, <so hiess> Phaiakien. Das Ethnikon <lautet> Drepaneer, <gebildet> wie Scherieer. Es gibt auch eine Stadt in Lykien <namens> Drepana.[142] Der Bürger <heisst> gleichermassen <Drepaneer>. Auch <gibt es ein> Drepana, im Neutrum verwendet, eine Stadt auf Sizilien, ferner eine Stadt Drepanon in Libyen. Und es gibt zwei Eilande <dieses Namens> bei <der Sporadeninsel> Lebinthos; ferner gibt es Drepane in Bithynien, am Astakenischen Golf <gelegen>. Es gibt auch ein Gebirge <namens Drepanon> in Äthiopien. Die <Stadt> in Bithynien, sagt Demosthenes (FGrHist 699 F 14 = fr. 14 Powell), habe man <deshalb so> benannt, weil „man sie nach der Sichel des Kroniden Drepane nennt". Das Ethnikon <lautet> Drepaneer, und das Femininum Drepaneïdin.

128. Dresia, Stadt in Phrygien.[143] Dionysios <erwähnt sie> im dritten Buch der *Bassarika* (fr. 3 Livrea = fr. 3 Heitsch): „Budeia und Dresie sowie jene, welche die quittengelbe Erde …". Das Ethnikon <lautet> Dresieer.

129. Driler, <deren> Siedlung in <der Landschaft> Pontos, nicht weitab von Trapezus, <liegt>, wie Xenophon im fünften Buch der *Anabasis* (5,2,1) <berichtet>.

130. Drilon, grosse Stadt, <und zwar> die entlegenste (d.h. westlichste) von den keltischen <Städten>. Das Ethnikon <lautet> Drilonier, wie Theopomp im dreiundvierzigsten Buch <der *Philippika*> (FGrHist 115 F 202) <angibt>.[144]

131. Drongilon, Ort in Thrakien; Theopomp <erwähnt ihn> im neunten Buch der *Philippika* (FGrHist 115 F 83). Das Ethnikon <lautet> Drongilier.

---

142 Zgusta, Kleinasiatische Ortsnamen § 279; TIB 8,2,523.

143 Zgusta, Kleinasiatische Ortsnamen § 280.

144 Die Stadt ist unbekannt; Meinekes Zweifel, dass Δριλώνιοι das richtige Toponym sei, schliesst sich Jacoby an, „der stadtname scheint grammatische fiktion oder mißverständnis des singularen ethnikons" (Komm. zu F 201–202, S. 384). Mit der postulierten Namensform Δριλών und dem entsprechenden Ethnikon vgl. Ἀγκών (α 36), Καλυδών (350,10), Μαραθών (432,3) usw. Bei Gleichlaut mit dem Ethnikon würde man einen entsprechenden Hinweis erwarten, vgl. δ 48 (Δελφοί), δ 50 (Δενθάλιοι), δ 100 (Δίφροι).

132 Δρύαινα· πόλις Κιλικίας, κτίσμα Δρυαίνου, ἡ μετονομασθεῖσα Χρυσόπολις. τὸ ἐθνικὸν Δρυαινίτης.

133 Δρυίδαι· ἔθνος Γαλατικὸν φιλόσοφον, ὡς Λαέρτιος Διογένης ἐν Φιλοσόφῳ ἱστορίᾳ (1,1).

134 Δρύμη· πόλις Λιβύης, Στράβων ιζ̅ (17,3,16 [C 834,18]). ὁ πολίτης Δρυμαῖος ὡς Βαρκαῖος Κυρηναῖος.

135 Δρυμία· πόλις Φωκίδος. Παυσανίας ι̅ (10,33,12) „Δήμητρος δὲ Θεσμοφόρου Δρυμίοις ἱερόν ἐστιν ἀρχαῖον“. τὸ ἐθνικὸν Δρυμιεύς ἐκ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου.

136 Δρυμοῦσσα· νῆσος Ἰωνίας, Θουκυδίδης η̅ (8,31,3). τὸ ἐθνικὸν Δρυμουσσαῖος.

137 Δρυόπη· πόλις περὶ τὴν Ἑρμιόνα. γράφεται καὶ Δρυόπα. ὁ πολίτης Δρυοπαῖος, ὡς Ἡρόδωρος (FGrHist 31 F 36), ὃν παρατίθησιν Ἐπαφρόδιτος (fr. 64 Braswell/Billerbeck = fr. 27 Lünzner). οἱ δὲ περὶ τὴν Οἴτην Δρύοπες ἀπὸ Δρυόπης τῆς Εὐρυπύλου θυγατρός. ἔστι καὶ Δρυ-
240 οπία τῶν Δρυόπων περὶ Τραχῖνα. λέγεται καὶ Δρυοπίς καὶ Δρυοπηίς καὶ Δρυοπία.

---

132 St. Byz. 697,16 Χρυσόπολις· ἐν Βιθυνίᾳ … (698,3) ἔστι καὶ ἄλλη Κιλικίας Χρυσόπολις, ὡς ὁ Πολυίστωρ (FGrHist 273 F 140) **133** D. L. 1,1 Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. …, παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους, et 1,6 καί φασι τοὺς μὲν Γυμνοσοφιστὰς καὶ Δρυΐδας αἰνιγματωδῶς ἀποφθεγγομένους φιλοσοφῆσαι· σέβειν <τε> θεοὺς καὶ μηδὲν κακὸν δρᾶν καὶ ἀνδρείαν ἀσκεῖν Str. 4,4,4 (C 197,23) Δρυΐδαι δὲ πρὸς τῇ φυσιολογίᾳ καὶ τὴν ἠθικὴν φιλοσοφίαν ἀσκοῦσι, δικαιότατοι δὲ νομίζονται καὶ διὰ τοῦτο πιστεύονται τάς τε ἰδιωτικὰς κρίσεις καὶ τὰς κοινάς Suid. δ 1542; Zonar. p. 569 **135** Paus. 10,3,2 Δρυμαίαν et 33,12 Δήμητρος δὲ Θεσμοφόρου Δρυμαίοις ἱερόν ἐστιν ἀρχαῖον urbis nomen Δρυμός apud Hdt. 8,33 et *Drumiae* apud Liv. 28,7,13 **136** Th. 8,31,3 αἱ δὲ ἄλλαι νῆες κατῆραν ἐς τὰς ἐπικειμένας ταῖς Κλαζομεναῖς νήσους, Μαραθοῦσσαν καὶ Πήλην καὶ Δρυμοῦσσαν **137** Str. 8,6,13 (C 373,19) Δρυόπων δ' οἰκητήριόν φασι καὶ <τὴν Ἑρμιόνην καὶ> τὴν Ἀσίνην et Str. 9,5,10 (C 434,9) Ἡράκλειάν τε καὶ τὴν Δρυοπίδα τετράπολιν γεγονυῖάν ποτε (καθάπερ καὶ τὴν Δωρίδα), μητρόπολιν δὲ τῶν ἐν <τῇ> Πελοποννήσῳ Δρυόπων νομιζομένην Eust. ad B 560 (I 442,4) Sch. A. R. 1,1212–19a φεύγων (sc. Hercules) οὖν τὸν φόνον καὶ σὺν τῇ γαμετῇ στελλόμενος ἀνεῖλεν ἐν Εὐήνῳ ποταμῷ Νέσσον Κένταυρον, ὡς καὶ Ἀρχίλοχος (fr. 280 Tarditi) ἱστορεῖ. ἔπειτα προϊὼν ἔφερεν καὶ Ὕλλον τὸν υἱὸν καὶ ἐλθὼν εἰς τὴν Δρυοπίαν – ληστρικὸν δὲ τὸ ἔθνος ὁμοροῦν τοῖς Μηλιεῦσιν, ὡς Φερεκύδης ἐν τῇ γ̅ (FGrHist 3 F 19) φησίν; Sch. Aristid. Panath. 111,2 (III 79,28 Dindorf) χῶραι … τῇ Ἀττικῇ Δρυοπία καὶ Πελασγία

---

133 1 ὡς RQ: ὁ P, om. N λαέρτιος διογένης RQ: διογένης λαέρτιος PN **134** 1 ιζ̅ Berkel: ις̅ RQPN 2 δριμαῖος R **135** 1 δημήτριος R 2 δρυμίοις QPN: -ίης R, δρυμαίοις Paus. codd. δρυμιεύς Ald.: δρι- RQPN 3 τοῦ ante οὐδετέρου om. QPN **136** 1 Δρύμουσα R 2 δρυμουσαῖος R **137** 1 παρὰ R 3 παρὰ R 4 δρυοπία RPN: δρυοπεία Q 5 post Δρυόπων spat. 3–4 litt. indic. P παρὰ R δρυοπίς PN: ἰδρυοπὶς RQ

132. Dryaina, Stadt in Kilikien, Gründung von Dryainos, welche in Chrysopolis umbenannt wurde. Das Ethnikon <lautet> Dryainit.

133. Druiden, galatischer Philosophenstand, wie Laertios Diogenes in der *Philosophiegeschichte* (1,1) <festhält>.[145]

134. Dryme, Stadt in Libyen; Strabon <erwähnt sie> im siebzehnten Buch (17,3,16 [C 834,18]).[146] Der Bürger <heisst> Drymaier, <gebildet> wie Barkaier <und> Kyrenaier.

135. Drymia, Stadt in Phokis; Pausanias <sagt> im zehnten Buch (10,33,12): „Die Drymier besitzen ein altes Heiligtum der Demeter Thesmophoros (‚Gesetzgeberin')". Das Ethnikon <lautet> Drymieer, sowohl von einer femininen <Namensform abgeleitet> als auch von einer im Neutrum.[147]

136. Drymussa, Insel <vor der Küste> Ioniens;[148] Thukydides <erwähnt sie> im achten Buch (8,31,3). Das Ethnikon <lautet> Drymussaier.

137. Dryope, Stadt nahe bei Hermion. Man schreibt auch Dryopa. Der Bürger <heisst> Dryopaier, wie Herodor (FGrHist 31 F 36) <angibt>, den Epaphroditos (fr. 64 Braswell/Billerbeck = fr. 27 Lünzner) anführt. Die Dryoper rings um den Oeta <sind> nach Dryope, der Tochter des Eurypylos, <benannt>. Es gibt <daher> auch Dryopien, <das Land> der Dryoper rings um Trachis.[149] Man sagt <als Femininum> sowohl Dryopis als auch Dryopeïs sowie Dryopia.[150]

---

145 Bekanntlich ist der Name des Philosophiehistorikers ausserhalb der *Ethnika* kaum belegt. Im Artikel Ἐνετοί (ε 80) wird er bloss Διογένης genannt, im Artikel Χολλεῖδαι (695,6) hingegen Διογένης ὁ Λαερτιεύς. Auch zitiert die Epitome dort jeweils das Werk mit dem Titel Φιλοσόφου ἱστορία. Gestützt wird die Namensform Λαέρτιος Διογένης durch Thdr. Gaz. Antirrhet. 14,12. Zu den Druiden s. J.-L. Brunaux, Les Druides. Des philosophes chez les barbares (Paris 2006), bes. 110–116.

146 Eine Stadt namens Dryme ist sonst nicht bekannt; Strabon, welchen Stephanos hier als Gewährsmann zitiert, erwähnt die Küstenstadt Ἀδρύμης, und so figuriert sie in den *Ethnika* unter α 67.

147 Bereits Berkel merkte zu Recht an, dass Stephanos oder wohl vielmehr der Epitomator die aus Pausanias (Δρυμαίοις) korrupt wiedergegebene Form Δρυμίοις fälschlicherweise als alternatives Toponym im Plural Neutrum (Δρύμαια) interpretierte anstatt als Ethnikon (Δρυμαῖοι). Aus diesem Irrtum resultiert die Erklärung ἐκ τοῦ θηλυκοῦ καὶ τοῦ οὐδετέρου.

148 Inventory S. 1059.

149 Im Licht von Sch. A. R. 1,1212–19a (s. Similia) ist wohl davon abzusehen, ausgehend von Δρυοπεία (Q) eine ursprüngliche Variante Δρυόπεια zu vermuten, wie dies zuerst (Braswell/Billerbeck, Epaphroditus 358) in Anlehnung an die Alternativformen Εὐρώπη / Εὐρωπία / Εὐρώπεια (St. Byz. ε 171) und Βερενίκη / Βερενίκεια (St. Byz. β 71) vorgeschlagen wurde. Nichtsdestoweniger bleibt der Anstoss der folgenden Doppelung (λέγεται καὶ … Δρυοπία) bestehen, da es sich ja in beiden Fällen um das adjektivische Toponym zu χώρα handelt.

150 Zu den Dryopern ausführlich O. Strid, Die Dryoper. Eine Untersuchung der Überlieferung. Studia Graeca Upsaliensia 20 (Uppsala 1999).

138 Δρῦς· πόλις Θρᾴκης, Ἑκαταῖος Εὐρώπῃ (FGrHist 1 F 160). ἔστι καὶ πόλις τῶν Οἰνώτρων. ὁ πολίτης Δρυεύς καὶ Δρυηίς. ἔστι καὶ κώμη Κιλικίας παρὰ τῷ Πιναρῷ ποταμῷ.

καὶ Δυμανίς τὸ θηλυκόν „στέλλεο νῦν ἔτι τῆλε Δυμανίδος ἠπείροιο“ (adesp. SH 1173), καὶ Δύμαινα. Εὐφορίων Χιλιάσι (fr. 50 Lightfoot = fr. 47 Powell) „δαίμων [[– ⏑⏑]]σαιτο φιλοπλοκάμοισι Δυμαίναις“. τὰ ἐθνικὰ δὲ τῶν λοιπῶν ἐν τοῖς περὶ αὐτῶν ἐροῦμεν τόποις.

139 Δυμᾶνες· φυλὴ Δωριέων. ἦσαν δὲ τρεῖς, Ὑλλεῖς καὶ Πάμφυλοι καὶ Δυμᾶνες {ἐξ Ἡρακλέους. καὶ προσετέθη ἡ Ὑρνηθία}, ὡς Ἔφορος α̅ (FGrHist 70 F 15) „Αἰγίμιος γὰρ ἦν τῶν περὶ τὴν Οἴτην Δωριέων βασιλεύς. ἔσχε δὲ δύο παῖδας Πάμφυλον καὶ Δυμᾶνα, καὶ τὸν τοῦ Ἡρακλέους Ὕλλον ἐποιήσατο τρίτον, χάριν ἀποδιδοὺς ἀνθ' ὧν Ἡρακλῆς ἐκπεπτωκότα κατήγαγεν“. οἱ οἰκοῦντες Δυμᾶνες. καὶ Δυμανίς τὸ θηλυκὸν καὶ Δύμαινα.

---

138 Ps.-Scyl. 67 (68) κατὰ ταύτην (sc. Samothracem) ἐν τῇ ἠπείρῳ ἐμπόρια Δρῦς, Ζώνη, … Procop. Goth. 1,15,20 τούτου δὲ τοῦ κόλπου ἐντὸς πόλισμα πρῶτον ὁ Δρυοῦς οἰκεῖται, ὅπερ τανῦν Ὑδροῦς καλεῖται. τούτου ἐν δεξιᾷ μὲν Καλαβροί τε καὶ Ἀπούλιοι καὶ Σαμνῖταί εἰσι **139** de tribuum eponymis et eorum origine cf. Hdt. 5,68,2; Sch. Pi. P. 1,121a et P. 5,92

---

138 2 πόλις τῶν Berkel: πτωκωστῶν RQPN Δρυηίς Meineke: δρυσὶς RQPN 3 κιλικίας RQ: λυκίας PN παρὰ R: περὶ QPN Πιναρῷ Salmasius: spat. 2–4 litt. αρῶ R(ἀρ-)QP, sine spat. ἀρῶ N

139 13 θηλυκόν Meineke: θῆλυ S 14 ἔτι S: ἀπὸ dub. Meineke in app. δυμανι S, suppl. alt. m. in marg. folii truncati 15 ἠπείροιο Meineke: πειροιο (ἠ evan.) S 16 Δύμαινα Westermann: δυμαίνα S 18 σαιτο S, fol. in marg. truncatum: <μωμή>σαιτο Schneider (1849) 550, <ἀντιά>σαιτο Düntzer

139 1 Δυμᾶνες H. Valesius (Emendationes I [1740] 32): Δυμᾶν N, Δρυμᾶν RQP φυλὴ R: φυ^λ Q, φύλων PN 2 παμφιλοι N 3 δρυμᾶνες R ἐξ – Ὑρνηθία del. M. Marx (Ephori Cumaei Fragmenta [1815]): ἐξ Ἡρακλέους del. Valesius 4 Ὑρνηθία Meineke: ὑρνι- RQPN 6 Αἰγίμιος Holste: αἴγιμος RQPN 8 δὲ Ald.: om. RQPN 9 δυμάνα Q 10 ὕλλον Q: ὕλον R, ὕλλαν PN ἐποιήσατο R: -σαντο QPN 11 ἀποδιδόντες N

138. Drys, Stadt in Thrakien; Hekataios <erwähnt sie> in der *Europe* (FGrHist 1 F 160). Es gibt auch eine <gleichnamige> Stadt der Oinotrer.[151] Der Bürger <heisst> Dryeer, und <im Femininum> Dryeïdin. Zudem gibt es ein Dorf <namens Drys> in Kilikien, am Fluss Pinaros <gelegen>.[152]

…[153] und Dymanidin das Femininum, <wie im Vers> „ziehe noch jetzt weit weg vom dymanidischen Land“ (adesp. SH 1173), sowie Dymainerin. Euphorion <sagt> in den *Chiliaden* (fr. 50 Lightfoot = fr. 47 Powell) „eine Gottheit … den Dymainerinnen, die ihre Locken pflegen“. Die Ethnika zu den übrigen <Stämmen> werden wir in den einschlägigen Artikeln besprechen.

139. Dymanen, Phyle der Dorier. Es gab deren drei: Hylleer, Pamphyler und Dymanen, wie Ephoros im ersten Buch (FGrHist 70 F 15) <berichtet>:[154] „Aigimios war nämlich König der rings um den Oeta <wohnhaften> Dorier. Ihm wurden zunächst zwei Söhne geboren, Pamphylos und Dyman, und <später> adoptierte er Hyllos, den Sohn des Herakles, als dritten zum Dank dafür, dass Herakles ihn nach seiner Vertreibung wieder zurückgeführt hatte“. Die Bewohner <heissen> Dymanen, und Dymanidin <lautet> das Femininum sowie Dymainerin.

---

[151] Welche Stadt gemeint ist, bleibt unklar. Meineke verweist, wenn auch mit Vorbehalt, auf die bei Prokop (Goth. 1,15,20) erwähnte kalabrische Stadt Ὑδροῦς (ehemals Δρυοῦς).

[152] Diese Örtlichkeit ist weiter nicht bekannt; hingegen wird man aufgrund des Überlieferungsbefundes eher Salmasius (Κιλικίας παρὰ τῷ Πιναρῷ) folgen als Holste, der Λυδίας παρὰ τῷ Μαιάνδρῳ konjizierte.

[153] Hier setzt der Text in der Hs S (Paris. Coisl. 228) ein; s. Billerbeck, St. Byz. Ethn. I 5*–6*. Entsprechend erscheint im Folgenden die vollere Version in der linken Spalte, die Epitome in der rechten. Der Textverlust an den beschädigten Rändern von S wird im krit. Apparat in der Regel verzeichnet.

[154] Diese Auskunft wird durch das Zitat aus Ephoros belegt, welchem der allgemeine Hinweis auf Abkunft von Herakles widerspricht. Die vierte Phyle, Hyrnethia, fehlt auch in den einschlägigen Nebenquellen zu Ephoros; dass es sich um eine spätere gelehrte Randnotiz handelt, scheint am wahrscheinlichsten.

140 Δύμη· πόλις Ἀχαΐας, ἐσχάτη πρὸς δύσιν, ὅθεν καὶ
241 Καλλίμαχος ἐν ἐπιγράμμασιν (fr. 395 Pfeiffer) „εἰς Δύμην ἀπιόντα τὴν Ἀχαιῶν“. καὶ Δύμη ἡ χώρα πάλαι ἐκαλεῖτο, ἡ δὲ πόλις Στράτος, ὕστερον δὲ καὶ ἡ πόλις καὶ ἡ χώρα Δύμη ἐκλήθησαν. λέγεται καὶ πληθυντικῶς, ὡς Ἀπολλόδωρος (FGrHist 244 F 190) „τούτων ἀπέχουσα σταδίους ρ̅κ̅ ἐσχάτη κεῖται πρὸς δύσιν Δύμαι“. ὁ πολίτης Δυμαῖος. Ἔφορος κ̅δ̅ (FGrHist 70 F 84) „παραγενομένης δὲ τῆς στρατιᾶς εἰς τὴν Δύμην, πρῶτον μὲν οἱ Δυμαῖοι καταπλαγέντες“. καὶ Παυσανίας ζ̅ (7,17,6) „Οἰβώτᾳ ἀνδρὶ Δυμαίῳ σταδίου μὲν ἀνελομένῳ νίκην“. καὶ πάλιν (7,17,9) „Δυμαίοις μέν ἐστιν Ἀθηνᾶς ναὸς καὶ ἄγαλμα“. καὶ ἐν τῷ η̅ (8,1,2) „τὰ δὲ πρὸς Ἀχαΐαν

Δύμη· πόλις Ἀχαΐας, ἐσχάτη πρὸς δύσιν. ὁ πολίτης Δυμαῖος καὶ Δυμαία. λέγεται καὶ Δύμιος. Ἀντίμαχος (fr. 27 Matthews = fr. 27 Wyss) δὲ Καυκωνίδα ταύτην φησὶν ἀπὸ Καύκωνος ποταμοῦ.

---

140 Str. 8,3,9–11 (C 341,7) et 8,7,5 (C 387,28) ἐφεξῆς δ᾽ ἐστὶν ἡ Δύμη, πόλις ἀλίμενος πασῶν δυσμικωτάτη (ἀφ᾽ οὗ καὶ τοὔνομα)· πρότερον δ᾽ ἐκαλεῖτο Στράτος καὶ ἔτι πρότερον Παλίεια †οιπαρενωικησαν.οις παλιωταις†· διαιρεῖ δ᾽ αὐτὴν ἀπὸ τῆς Ἠλείας κατὰ τὴν Βουπρασίαν ὁ Λάρισος ποταμὸς ῥέων ἐξ ὄρους· τοῦτο δ᾽ οἱ μὲν ἐπιχώριοι Σκόλλιν καλοῦσιν, Ὅμηρος (Β 617, Λ 757) δὲ „πέτρην Ὠλενίην“· τοῦ δ᾽ Ἀντιμάχου (fr. 27 Matthews = fr. 27 Wyss) Καυκωνίδα τὴν Δύμην εἰπόντος οἱ μὲν ἐδέξαντο ἀπὸ τῶν Καυκώνων ἐπιθέτως εἰρῆσθαι τοῦτο μέχρι δεῦρο καθηκόντων – καθάπερ ἐπάνω [C 342,6; 345,13] προείπομεν –, οἱ δ᾽ ἀπὸ Καύκωνος ποταμοῦ τινος, ὡς αἱ Θῆβαι Διρκαῖαί τε καὶ Ἀσωπίδες, Ἄργος δ᾽ Ἰνάχειον, Τροία δὲ Σιμουντίς· δέδεκται δ᾽ οἰκήτορας καὶ ἡ Δύμη μικρὸν πρὸ ἡμῶν ἀνθρώπους μιγάδας, οὓς ἀπὸ τοῦ πειρατικοῦ πλήθους περιλιπεῖς ἔσχε Πομπήιος καταλύσας τὰ ληστήρια καὶ ἱδρύσας τοὺς μὲν ἐν Σόλοις τῆς Κιλικίας, τοὺς δ᾽ ἄλλοθι καὶ δὴ καὶ ἐνταῦθα Ptol. Geog. 3,16,5 (3,14,29) τῆς ἰδίως καλουμένης Ἀχαΐας· … Δύμη Sch. Lyc. 590 Δύμη δὲ πόλις ἢ χώρα Ἀχαΐας

---

140 5 Ἀχαιῶν Meineke: ἀχα cum spat. 3 litt. S 7 Στράτος Schubart (1841) 1143: στρατὸς S 17 ζ̅ Montfaucon: ϛ̅ S 18 Οἰβώτᾳ Westermann (e Paus.): βοιωτοὶ (e βιω-) S[pc] 22 η̅ Schubart (1841) 1143: α̅ S τὰ δὲ Westermann: τάδε S

140 3 δυμαῖα R

140. Dyme, Stadt in Achaia, die äusserste nach Westen hin;[155] daher <sagt> auch Kallimachos in den *Epigrammen* (fr. 395 Pfeiffer) „… ihn, der nach Dyme wegging, nach <der Stadt> der Achaier". Und Dyme hiess einst das Umland, die Stadt aber Stratos; später hat man jedoch sowohl die Stadt als auch das Land Dyme genannt. Man sagt auch <Dymai> im Plural, wie Apollodor (FGrHist 244 F 190) <angibt>: „Davon hundertzwanzig Stadien entfernt liegt Dymai als letzte in westlicher Richtung". Der Bürger <heisst> Dymaier. <So sagt> Ephoros im vierundzwanzigsten Buch (FGrHist 70 F 84): „Als sich aber das Heer Dyme näherte, versetzte dies die Dymaier zuerst tatsächlich in Schrecken". Und Pausanias <berichtet> im siebten Buch (7,17,6) „von Oibotas, einem Mann aus Dyme, der einen Sieg im Stadionlauf errungen hat". Und wiederum <heisst es dort> (7,17,9): „Die Dymaier besitzen einen Athenatempel mit ihrem Kultbild". Und im achten Buch (8,1,2) <sagt er>: „Hinsichtlich der <Landesteile> nach Achaia hin sind <die Arkadier>

Dyme, Stadt in Achaia, die äusserste nach Westen hin. Der Bürger <heisst> Dymaier und <das Femininum dazu> Dymaierin. Man sagt auch Dymier. Antimachos (fr. 27 Matthews = fr. 27 Wyss) aber nennt diese Kaukonis, nach dem Fluss Kaukon.

[155] Inventory Nr. 234.

Δυμαίων εἰσὶν ὅμοροι“. καὶ Ἀπολλόδωρος (FGrHist 244 F 191) ἢ ὁ τὰ τούτου ἐπιτεμνόμενος „τὴν δὲ χώραν ἔχουσι Δυμαῖοι“. καὶ Φίλιστος Σικελικῶν α̅ (FGrHist 556 F 2) „ἐπὶ τῆς <ς̅> ὀλυμπιάδος, ἣν Οἰβώτας <ὁ Δυμαῖος> ἐνίκα στάδιον“. καὶ Ἀπολλόδωρος ἐν Χρονικῶν α̅ (FGrHist 244 F 3) „πόλεμος ἐνέστη τοῖς τε Δυμαίοις <καὶ τοῖς ***>, ὅθεν <***>“, καὶ Θεόπομπος μ̅ (FGrHist 115 F 194) „προστάται δὲ τῆς πόλεως ἦσαν τῶν μὲν Συρακοσίων Ἄθηνις καὶ Ἡρακλείδης, τῶν δὲ μισθοφόρων Ἀρχέλαος ὁ Δυμαῖος“. τὸ θηλυκὸν Δυμαία. Εὐφορίων (fr. 160 Lightfoot = fr. 121 Powell) „ἥτις ἔχεις κληῖδας ἐπιζεφύροιο Δυμαίης“, διὰ τὸ πρὸς δύσιν ἐπιζέφυρον. Ἀντίμαχος δὲ (fr. 27 Matthews = fr. 27 Wyss) Καυκωνίδα φησὶν αὐτὴν ἀπὸ Καύκωνος ποταμοῦ, ὡς <τὰς Θήβας> Διρκαίας, ἔνιοι δὲ καὶ Ἀσωπίδας. διαστέλλεται δὲ τῆς Ἠλείας κατὰ τὴν Βουπρασίαν
242 Λαρίσῳ τῷ ποταμῷ. λέγεται καὶ Δύμιος, ὡς Βοίβη Βοίβιος.

28 τῆς <ς̅> Gavel (Misc. obs. 5,459): τῆς S, <ἕκ>της Jacoby 29 Οἰβώτας Westermann (e Paus.): ὁ βοιώτας S ὁ Δυμαῖος add. Berkel (e Paus.) 32–33 τοῖς τε Δυμαίοις <καὶ τοῖς ***>, ὅθεν <***> Kambylis (mon. Meineke, qui τοῖς τε Δυμαίοις ποθὲν <καὶ τοῖς Πατρεῦσι> susp.) 38 θηλυκὸν Meineke: θῆλυ S 39 Δυμαία Berkel: διδυμαία S 43 δὲ del. Meineke 45 …]κωνος S, suppl. Tennulius τὰς Θήβας add. Berkel (e Str. 8,7,5 [C 387,36]) 47 Ἀσωπίδας Berkel: -δα S ..]αστέλλεται S, suppl. Tennulius 49 .]αρίσω S, suppl. Montfaucon 50 .]οίβιος S, suppl. Montfaucon

Grenznachbarn der Dymaier“. Und Apollodor (FGrHist 244 F 191) oder der Verfasser des Auszugs aus dessen Werk <sagt>: „Das Land aber haben die Dymaier inne“. Und Philistos <sagt> im ersten Buch der *Sikelika* (FGrHist 556 F 2): „Während der sechsten Olympiade, an welcher Oibotas, der Dymaier, im Stadionlauf siegte“. Und Apollodor <berichtet> im ersten Buch der *Chronik* (FGrHist 244 F 3): „Krieg ist zwischen den Dymaiern <***> ausgebrochen, weswegen <***>“.[156] Und Theopomp <sagt> im vierzigsten Buch (FGrHist 115 F 194): „Vorsteher der Stadt waren von den Syrakusiern Athenis und Herakleides, von den Söldnern aber Archelaos, der Dymaier“. Das Femininum <lautet> Dymaia (Dymaierin). Euphorion (fr. 160 Lightfoot = fr. 121 Powell) <sagt>: „Die du die Schlüssel zum epizephyrischen Dymaia besitzest“, wegen ihrer Lage nach Westen hin als die ‚epizephyrische‘ <bezeichnet>. Antimachos (fr. 27 Matthews = fr. 27 Wyss) nennt sie kaukonisch, nach dem Fluss Kaukon, wie man Theben <nach der Quelle Dirke> dirkaisch <nennt>, manche <nach dem Fluss Asopos> auch asopisch. <Dyme> wird längs des buprasischen Gebietes durch den Fluss Larisos von Elis getrennt. <Das Ethnikon> heisst auch

[156] Die überlieferte Partikel τε wird durch das Metrum (iamb. Trimeter) geschützt, sie lässt aber ein zweites Glied <καὶ τοῖς …> erwarten, nämlich die Nennung der Kriegsgegner. Meinekes Diagnose von Textausfall folgt auch Jacoby; gegen dessen Konjektur ποθὲν hält er aber an der Überlieferung fest, „mit ὅθεν wird die folge des krieges eingeleitet; vorauf gingen also datierung und gegner“ (Komm. S. 721). Gegen die Interpretation von ὅθεν (als Relativum) spricht freilich die Korrelation τε … καί.

Ἀντίμαχος ἐν ε̄ Θηβαΐδος (fr. 28 Matthews = fr. 28 Wyss) „ἐν δέ *νυ* τοῖσι μάλα πρόφρων ἐπίκουρος ἀμορβέων | ὡμίλησ’, εἵως διεπέρσατε Δύμιον ἄστυ“.

141 Δύνδασον· πόλις Καρίας. Ἀλέξανδρος ἐν τῷ περὶ Καρίας β̄ (FGrHist 273 F 25) „αὖθις δ’ ἐπὶ Δύνδασον καὶ Κάλυνδα ὁρμῆσαι“. τὸ ἐθνικὸν Δυνδασεύς ὡς Πηγασεύς.

Δύνδασον· πόλις Καρίας. τὸ ἐθνικὸν Δυνδασεύς.

52 δέ *νυ* τοῖσι Meineke: δὲ σύτοισι S 54 ὡμίλησ’ εἵως Meineke: ὦ μιλήσιε.ὡς S

Dymier, wie man <zu> Boibe Boibier <bildet>. <So sagt> Antimachos im fünften Buch der *Thebais* (fr. 28 Matthews = fr. 28 Wyss): „Unter diesen aber verkehrte ich als überaus wohlwollender Helfer im Dienst, bis ihr die Dymier-Stadt zerstörtet“.[157]

141. Dyndason, Stadt in Karien.[158] Alexander (Polyhistor) <erwähnt sie> im zweiten Buch *Über Karien* (FGrHist 273 F 25): „noch einmal in aller Eile gegen Dyndason und Kalynda aufzubrechen“. Das Ethnikon <lautet> Dyndaseer, <gebildet> wie Pegaseer.

Dyndason, Stadt in Karien. Das Ethnikon <lautet> Dyndaseer.

[157] Direkte, wenn hier auch ungenannte, Quelle des ganzen Abschnitts ist Strabon (8,7,5; vgl. auch 8,3,11), der neben der Ableitung des Beiworts ‚kaukonisch‘ vom benachbarten Fluss Kaukon auch die Möglichkeit erwähnt, dass es sich um eine Siedlung der (homerischen, vgl. Od. 3,366) Kaukonen handelt. Zur umstrittenen Identifikation von Antimachos’ kaukonischem Dyme und der Diskussion bei Strabon sowie zur poetischen, periphrastischen Namensbildung Δύμιον ἄστυ, woraus Stephanos ein alternatives Ethnikon bildet, s. Matthews, Antimachus of Colophon 131–134 und 135.

[158] Zgusta, Kleinasiatische Ortsnamen § 281.

142 Δυρβαῖοι· ἔθνος καθῆκον εἰς Βάκτρους καὶ τὴν Ἰνδικήν. Κτησίας ἐν Περσικῶν ι̅ (fr. 11 Lenfant = FGrHist 688 F 11) „χώρα δὲ πρὸς νότον πρόσκειται, Δυρβαῖοι πρὸς τὴν Βακτρίαν καὶ Ἰνδικὴν κατατείνοντες. οὗτοι εὐδαίμονες ἄνδρες καὶ πλούσιοι καὶ κάρτα δίκαιοί εἰσι· οὗτοι οὔτε ἀδικοῦσιν οὔτε ἀποκτέννουσιν ἀνθρώπων οὐδένα. ἐὰν δέ τι εὕρωσιν ἐν τῇ ὁδῷ χρυσίον ἢ ἱμάτιον ἢ ἀργύριον ἢ ἄλλο τι, οὐδὲν <ἂν> ἀποκινήσειαν. οὗτοι οὔτε ἀρτοποιέουσιν οὔτ᾽ ἐσθίουσιν οὔτε †νομίζουσιν†, ἐὰν μὴ ἱερῶν οὕνεκεν. ἄλφιτα δὲ ποιοῦσιν λεπτότερα
243 καθάπερ οἱ Ἕλληνες· καὶ ἐσθίουσι μάζας ποῶν“.

142 5 νότον Berkel: αὐτὸν S   6 πρὸς – κατατείνοντες huc transp. Meineke: post 9 δίκαιοί εἰσι S   S   10 ἀποκτέννουσιν (e -κτείνουσιν) S^{pc}: ἀποκτεννύουσιν Jacoby   12 ἢ ἱμάτιον ἢ ἀργύριον ex interpolatione esse susp. Meineke   ἢ ante ἱμάτιον superscr. S^{pc} 13 οὐδὲν <ἂν> ἀποκινήσειαν Müller: οὐδὲν ἀποκινήσειαν S, οὐδὲ ἂν αὐτὸ κινήσειαν dub. Meineke in app.   16 νομίζουσιν S: οἰνίζουσι dub. Meineke in app., ποτίζουσι Müller, νομίζουσιν <χρῆσθαι> Jacoby   19 ποῶν (ut vid.) S: ποέων Meineke in app.

Δυρβαῖοι· ἔθνος καθῆκον εἰς Βάκτρους καὶ τὴν Ἰνδικήν. Κτησίας ἐν Περσικῶν ι̅ (fr. 11 Lenfant = FGrHist 688 F 11) „χώρα δὲ πρὸς νότον πρόσκειται, Δυρβαῖοι εὐδαίμονες ἄνδρες καὶ πλούσιοι καὶ δίκαιοι, οὔτ᾽ ἀδικοῦντες οὔτε ἀποκτεννύοντες ἄνθρωπον. ἐὰν δ᾽ εὕρωσιν ἐν τῇ ὁδῷ ἢ χρυσὸν ἢ ἄλλο τι <***>“.

142 5 νότον Berkel: αὐτὸν RQPN   10 lac. indic. Billerbeck (mon. Kambylis)

142. Dyrbaier, ein Volk, das sich bis zu den Baktrern und nach Indien ausdehnt. Ktesias <erwähnt sie> im zehnten Buch seiner *Geschichte Persiens* (fr. 11 Lenfant = FGrHist 688 F 11): „In südlicher Richtung erstreckt sich das Gebiet der Dyrbaier, die sich bis nach Baktrien und Indien ausdehnen. Es sind glückliche Menschen, reich und überaus gerecht; weder tun sie Unrecht, noch töten sie einen Menschen. Finden sie nämlich auf der Strasse ein Goldstück oder ein Gewand oder eine Silbermünze oder sonst irgendetwas, würden sie es keineswegs an sich nehmen. Auch backen sie weder Brot, noch essen sie <es>, noch …, es sei denn wegen einer Kulthandlung. Sie machen aber, wie die Griechen, eine recht feine Gerstengrütze und essen Kräuterfladen“.[159]

Dyrbaier, ein Volk, das sich bis zu den Baktrern und nach Indien ausdehnt. Ktesias <erwähnt sie> im zehnten Buch seiner *Geschichte Persiens* (fr. 11 Lenfant = FGrHist 688 F 11): „In südlicher Richtung erstreckt sich das Gebiet; Dyrbaier <heissen sie>, glückliche Menschen, reich und gerecht, die weder Unrecht tun noch einen Menschen töten. Finden sie nämlich auf der Strasse ein Goldstück oder sonst irgendetwas <***>“.[160]

[159] Der fabelhafte Fischreichtum, wie ihn Stephanos im Artikel Τέως (620,6) erwähnt, würde gut zum (skythischen) Volk der Dyrbaier passen, wenn dort Salmasius’ Korrektur Δυρβαίοις (Διρβαῖς RQPN) zutrifft.

[160] Das Ende des gekürzten Artikels ist gestört, wenn letztlich auch unsicher bleibt, wo die Ursache liegt. Möglich wäre, dass bereits der Epitomator das Originalzitat durch Wegschnitt des Hauptsatzes (οὐδὲν <ἂν> ἀποκινήσειαν) kürzte: „ … und töten keinen Menschen, wenn sie auf der Strasse ein Goldstück finden oder sonst irgendetwas“. Dann müssen wir freilich annehmen, dass ihm die Partikel δέ entgangen ist, welche einen neuen Satz anzeigt. Wahrscheinlicher ist also, dass der Textverlust in der fehlerhaften Überlieferung begründet ist.

143 Δυρράχιον· πόλις Ἰλλυρική, Ἐπίδαμνος κληθεῖσα ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ Ποσειδῶνος Δυρράχιος· ἀφ’ ἧς ἔστιν ἐν Ἐπιδάμνῳ τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν, ὡς Φίλων (FGrHist 790 F 35). „Μετὰ δὲ τὸν Ῥιζονικὸν <κόλπον> Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ

Δυρράχιον· πόλις Ἰλλυρική, Ἐπίδαμνος κληθεῖσα, ἀπὸ Ἐπιδάμνου. τούτου θυγάτηρ Μέλισσα, ἧς καὶ τοῦ Ποσειδῶνος Δυρράχιος, ἀφ’ ἧς τόπος Μελισσώνιος, ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν. Ἀλέξανδρος δὲ ἐν Εὐρώπῃ (SH 25) Δυσράχιον αὐτὴν καλεῖ μετὰ τοῦ σ „Δυσραχίου τ’ Ἐπίδαμνος ἐπ’ ἀγχιάλου χθονὸς ἀκτῆς“. ἔστι καὶ

---

143 eponymus Δύρραχος apud App. BC 2,39 et D. C. 41,49 Str. 7,5,8 (C 316,13) Μετὰ δὲ τὸν Ῥιζονικὸν κόλπον Λίσσος ἐστὶ πόλις καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος, Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ χερρονήσῳ λεγομένη, ἐφ’ ἧς ἵδρυται. εἶθ’ ὁ Ἄψος ποταμὸς καὶ ὁ Ἄωος, ἐφ’ ᾧ Ἀπολλωνία πόλις εὐνομωτάτη Str. 7,5,7 (C 316,2) Μετὰ δ’ οὖν τὴν τῶν Ἀρδιαίων καὶ Πληραίων παραλίαν ὁ Ῥιζονικὸς κόλπος ἐστὶ καὶ Ῥίζων πόλις καὶ ἄλλα πολίχνια καὶ Δρίλων ποταμὸς ἀνάπλουν ἔχων πρὸς ἕω μέχρι τῆς Δαρδανικῆς Paus. 6,10,7 καὶ ἐλεγεῖον τόδε ἐστὶν ἐπὶ τῷ ἅρματι· „Κλεοσθένης μ’ ἀνέθηκεν ὁ Πόντιος ἐξ Ἐπιδάμνου, | νικήσας ἵπποις καλὸν ἀγῶνα Διός“. … Ἐπιδάμνιοι δὲ χώραν μὲν ἥνπερ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ οὐ τὴν ἀρχαίαν ἐφ’ ἡμῶν ἔχουσιν, ἐκείνης δὲ ἀφεστηκυῖαν ὀλίγον· ὄνομα δὲ τῇ πόλει τῇ νῦν Δυρράχιον ἀπὸ τοῦ οἰκιστοῦ Const. Porph. Them. 9 Δυρράχιον, ἥ ποτε Ἐπίδαμνος· … καὶ ὧδε μὲν ἐπαρχία τῆς νέας Ἠπείρου, τουτέστι τοῦ Δυρραχίου, τοῦ πάλαι καλουμένου Ἐπιδάμνου. Ῥητέον δὲ περὶ τῆς ὀνομασίας αὐτοῦ πόθεν καλεῖται Δυρράχιον. „Δυρράχιον πόλις {Ἑλληνική} (secl. Pertusi) <Ἰλλυρικὴ> (suppl. Pertusi [e St. Byz. codd.]) καὶ Ἐπίδαμνος κληθεῖσα ἀπὸ (corr. Pertusi [e St. Byz. codd.], ὑπὸ C) Ἐπιδάμνου τοῦ ἀρχαίου ἥρωος· τούτου θυγάτηρ Μέλισσα, ἧς ἠράσθη Ποσειδῶν καὶ ἀφ’ ἧς ὁ Δυρράχιος. Ἔστι τόπος (Pertusi, ἧς καὶ ἠράσθη Ποσειδῶν ὁ Δυρράχιος [ὑφ’ οἷς deletis] ἐστὶ τόπος C) ἐν Ἐπιδάμνῳ Μελισσόνιος (sic), ἔνθα Ποσειδῶν αὐτῇ συνῆλθεν“, ὡς Φίλων (FGrHist 790 F 35; huc transp. et infra ὡς Στράβων add. Pertusi [mon. Meineke]). „Μετὰ δὲ τὸν Ῥιζόνικον (sic) Λισσός ἐστι πόλις, καὶ Ἀκρόλισσος καὶ Ἐπίδαμνος, Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ Χερρονήσῳ λεγομένη, ἐφ’ ἧς ἵδρυται“, <ὡς Στράβων> (7,5,8 [C 316,13]) γράφει. Δέξιππος (δ’ post Δέξιππος add. Pertusi [e St. Byz. cod. S]) ἐν Χρονικῶν δεκάτῳ (FGrHist 100 F 3) Μακεδονικὴν πόλιν αὐτὴν καλεῖ, γράφων οὕτως· „καὶ Μακεδόνων Ἐπίδαμνον, ἐσύστερον Δυρράχιον μετονομασθεῖσαν, πόλιν τῆς Μακεδονίας μεγάλην καὶ εὐδαίμονα οὖσαν, κατὰ κράτος αἱροῦσιν“. Eust. D. P. 389 (p. 289,10) Ὅτι τῆς Ἰλλυρικῆς χώρας πέρας αἱ ἠλίβατοι κολῶναι, τὰ Κεραύνια ὄρη, οὕτω καλούμενα διὰ τὸ συχνοὺς ἐκεῖ πίπτειν κεραυνούς. περὶ ἃ κεῖται καὶ ἡ τῆς νέας Ἠπείρου μητρόπολις, ἥ ποτε καλουμένη Ἐπίδαμνος, ἤτοι τὸ Δυρράχιον, δηλοῦν ἐκ τῆς τοιαύτης κλήσεως τὴν τοῦ τόπου τραχύτητα· δυσράχιον γάρ ἐστιν, ὅ ἐστι δυσέξοχον· τρέψαν δὲ τὸ σ εἰς ρ εὐφωνότερον λαλεῖται Δυρράχιον, καθὰ καὶ τὸ Τυρσηνός Τυρρηνός, ταρσός ταρρός ὁ καλαθίσκος, πυρσός πυρρός, καὶ ἄλλα

---

143 7 ὡς Φίλων (quae verba S post 13 ἵδρυται habet) huc transp. Meineke, qui ante verba sequentia Στράβων δ’ ἐν ζ add. 9 κόλπον add. Billerbeck (e Str. codd.)

143 4 τοῦ Xylander: τὸ RQPN Δυρράχιος Xylander: δυρραχὶς R, -ιCo (sic) Q, -ιον Co (sic) PN 9 δυρραχίου R

143. Dyrrhachion, illyrische Stadt, Epidamnos genannt nach Epidamnos.[161] Dieser hatte eine Tochter, Melissa, die dem Poseidon Dyrrhachios gebar. Nach ihr <benannt> gibt es in Epidamnos einen Platz, Melissonios, wo Poseidon ihr beigewohnt hatte, wie (Herennios) Philon (FGrHist 790 F 35) <berichtet>. „Nach dem Rhizonischen Golf folgt die Stadt Lissos, dann Akrolissos und Epidamnos,

Dyrrhachion, illyrische Stadt, Epidamnos genannt nach Epidamnos. Dieser hatte eine Tochter, Melissa, die dem Poseidon Dyrrhachios gebar. Nach ihr <benannt gibt es> einen Platz, Melissonios, wo Poseidon ihr beigewohnt hatte. Alexander (von Ephesos) hingegen bildet in der *Europe* (SH 25) den Namen <der Halbinsel> mit einem σ, Dysrhachion, „und Dysrhachions <Stadt>

[161] Inventory Nr. 79.

Ἐπίδαμνος Κερκυραίων κτίσμα, ἡ νῦν Δυρράχιον ὁμωνύμως τῇ χερρονήσῳ λεγομένη, ἐφ’ ἧς ἵδρυται“ (Str. 7,5,8 [C 316,13]). Δέξιππος δὲ ἐν Χρονικῶν ῑ (FGrHist 100 F 3) φησὶν οὕτως· „καὶ Μακεδόνων τὴν πρότερον μὲν Ἐπίδαμνον, ἐς ὕστερον δὲ Δυρράχιον μετονο-
244 μασθεῖσαν, πόλιν τῆς Μακεδονίας μεγάλην καὶ εὐδαίμονα κατὰ κράτος αἱροῦσιν“. Ἀλέξανδρος δὲ ἐν Εὐρώπῃ (SH 25) μετὰ τοῦ σ Δυσράχιον αὐτὴν καλεῖ „Δυσραχίου τ’ Ἐπίδαμνος ἐπ’ ἀγχιάλου χθονὸς ἀκτῆς“. ἔστι καὶ ἄλλη Λακωνική, μία τῶν ρ̄. λέγεται δὲ καὶ ἡ χώρα τῆς Ἰλλυρίας Δυρραχία. Εὐφορίων (fr. 161 Lightfoot = fr. 85 Powell) „ἄστεα Δυρραχίης τε καὶ ἔθνεα Ταυλαντίνων“. καὶ ἄλλη Λακωνική, μία τῶν ρ̄. καὶ ἡ χώρα τῆς Ἰλλυρίας Δυσραχία, ἧς τὸ ἀρσενικὸν Δυσράχιος. νῦν δὲ Δυρραχηνοί λέγονται, ὡς Ἐρέννιος Φίλων ἐν τοῖς Ἰατροῖς (FGrHist 790 F 53) „Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν Ἀσκληπιάδου, ἰατρεύσας δ’ ἐν τῇ πατρίδι εὐδόξως συνετάξατο βιβλία με̄“.

17 πρότερον, quod in Strabonis verbis ante λεγομένη (lin. 13) additum erat, huc transp. Meineke 20 ..]δαίμονα S, suppl. Tennulius

11 λακωνικῆς R 13 δυσράχιος N: δυρρ- QP, δυρ- R 14 ἐρέννιος Q: ἐρρέννιος RP, ἐρρένιος N 15 ἰατρικοῖς N 17 ἰτρεύσας Q

eine Gründung der Kerkyraier, die jetzt Dyrrhachion heisst, gleichnamig mit der Halbinsel, auf der sie erbaut ist“ (Str. 7,5,8 [C 316,13]). Dexippos aber spricht im zehnten Buch der *Chronik* (FGrHist 100 F 3) folgendermassen <von ihr>: „Und von den Makedonen nahmen sie gewaltsam das ehemalige Epidamnos ein, welches später in Dyrrhachion umbenannt wurde, eine grosse und wohlhabende Stadt Makedoniens“.[162] Alexander (von Ephesos) hingegen bildet in der *Europe* (SH 25) den Namen <der Halbinsel> mit einem σ, Dysrhachion, „und Dysrhachions <Stadt> Epidamnos, auf dem Boden der meerumspülten Küste <erbaut>“. Es gibt noch ein zweites <Dyrrhachion> in Lakonien, eine von den hundert Städten.[164] Man nennt ferner auch die Gegend Illyriens Dyrrhachien. <So sagt> Euphorion (fr. 161 Lightfoot = fr. 85 Powell): „Sowohl die Städte von Dyrrhachien als auch die Stämme der Taulantiner“. Und es ist klar, dass

Epidamnos, auf dem Boden der meerumspülten Küste <erbaut>“. Es gibt noch ein zweites <Dyrrhachion> in Lakonien, eine von den hundert Städten. Man nennt ferner auch die Gegend Illyriens Dysrhachien, von der das Maskulinum Dysrhachier <herkommt>.[163] Jetzt aber <heissen die Bürger> Dyrrhachener, wie es Herennios Philon in dem Werk *Ärzte* (FGrHist 790 F 53) <verzeichnet>: „Der Dyrrhachener Philonides war ein Schüler des Asklepiades, und nach erfolgreicher ärztlicher Tätigkeit in seiner Heimat verfasste er <eine Heilkunde> in fünfundvierzig Büchern“.

---

162 Bis hierher hat Const. Porph. Them. 9 den Artikel fast wörtlich (inkl. der irrigen Zitatzuweisung an Philon/Strabon) aus der volleren Version der *Ethnika* übernommen; für kleinere Überlieferungsfehler und deren Korrekturen s. den kritischen Apparat in Pertusis Ausgabe. Zum Verhältnis zwischen cod. S und den Stephanosexzerpten bei Porphyrogennetos s. Billerbeck, Artemidorus’ *Geographoumena* 71–78.

163 Durch Kürzung veranlasst, führt die Epitome in Abweichung von der volleren Version (S) die Alternativform Δυσρ- konsequent weiter; diese hat bereits Meineke zu Recht so belassen.

164 Über die Stadt Dyrrhachion/Epidamnos in Lakonien ist sonst nichts bekannt.

δῆλον ὅτι Δυρράχιος τὸ τούτου ἀρσενικόν, ὡς τοῦ Ἀνακτόριον τὸ Ἀνακτόριος, Βυζάντιον Βυζάντιος, Θούριον Θούριος, Κούριον Κούριος. Ἐρατοσθένης γ̅ Γεωγραφουμένων (fr. III B, 109, p. 355 Berger) „ἐχόμενοι δ’ οἰκοῦσι Ταυλάντιοι. πόλις δ’ Ἑλληνὶς Ἐπίδαμνος ἐπὶ χερρονήσου τῆς καλουμένης Δυρραχίου. ποταμοὶ δὲ Δρίλων καὶ Ἄωος, περὶ οὓς οἱ Κάδμου καὶ Ἁρμονίας τάφοι δείκνυνται“. ὅμως δὲ νῦν Δυρραχηνοί λέγονται. οὕτω γὰρ καὶ Βάλακρος ἐν Μακεδονικοῖς (FGrHist 773 F 2) φησι „καὶ τούτων αἱ πόλεις Δυρραχηνοῖς
245 τε καὶ Ἀπολλωνιάταις ἐπιδιῄρηνται“. καὶ Ἐρέννιος Φίλων ἐν τοῖς Ἰατροῖς (FGrHist 790 F 53) Δυρραχηνὸν ἀναγράφει Φιλωνίδην οὕτως· „Ἀσκληπιάδης ἀκουστὰς ἔσχε Τίτον Αὐφίδιον Σικελὸν καὶ Φιλωνίδην Δυρραχηνὸν καὶ Νίκωνα Ἀκραγαντῖνον“. καὶ

32 Ἀνακτόριον Berkel: ἀνάκτορον S 41 Ἄωος Berkel (e Str.), qui tamen Ἀῶος legit: λάος S 45 Βάλακρος Meineke: -γρος S

das Maskulinum <zu> Dyrrhachion Dyrrhachier <lautet>, wie <man zu> Anaktorion <das Ethnikon> Anaktorier, <zu> Byzantion Byzantier, <zu> Thurion Thurier, <zu> Kurion Kurier <bildet>. <So schreibt> Eratosthenes im dritten Buch der *Erdkunde* (fr. III B, 109, S. 355 Berger): „Angrenzend wohnen die Taulantier. Es gibt <dort> eine griechische Stadt <namens> Epidamnos, auf der Halbinsel <gelegen>, die Dyrrhachion heisst. <Auch> zwei Flüsse <namens> Drilon und Aoos,[165] in deren Nähe man die Gräber des Kadmos und der Harmonia zeigt". Trotzdem <heissen die Bürger> jetzt Dyrrhachener.[166] Denn so nennt <sie> auch Balakros in den *Makedonika* (FGrHist 773 F 2):[167] „Und deren Städte sind unter den Dyrrhachenern und den Apolloniaten aufgeteilt worden". Ausserdem verzeichnet Herennios Philon in dem Werk *Ärzte* (FGrHist 790 F 53) einen Dyrrhachener Philonides mit folgenden Worten: „Asklepiades hatte den Sizilier Titus Aufidius und den Dyrrhachener Philonides und den Akragantiner Nikon als Schüler"; und

165 Der Flussname Ἄωος ist durch die einhellige Überlieferung bei Strabon gesichert; falsches anlautendes λ begegnet übrigens auch in der Überlieferung von Ptol. Geog. 3,13,3 (3,12,2), wo die Flussmündung im Gebiet der Taulantier verzeichnet ist, Ἀώου (R. Burri, λώου codd. plur.) ποταμοῦ ἐκβολαί.

166 Mit Blick auf andere illyrische Ethnika wie Δωνεττῖνοι, Ἀμβρακῖνοι usw. erwog Meineke Δυρραχῖνοι. Diese Form ist jedoch im Gegensatz zum geläufigen Ethnikon Δυρραχηνός nicht belegt.

167 Wie Meineke (ad loc.) nachweist, ist die korrekte makedonische Orthographie des Namens Βάλακρος; im Hinblick auf die Paradosis Βάλαγρος bei Stephanos (vgl. auch 86,7 und 489,1) möchte Ed. Schwartz (RE II 2,2815) hingegen an der überlieferten Form mit γ festhalten.

πάλιν „Φιλωνίδης δὲ ὁ Δυρραχηνὸς ἤκουσε μὲν Ἀσκληπιάδου, ἰατρεύσας δὲ ἐν τῇ πατρίδι εὐδόξως συνετάξατο βιβλία μ̅ε̅“. λέγει δὲ Παυσανίας ἐν ς̅ (6,10,8) περὶ τῆς ἀρχαίας καὶ τῆς *νῦν* πόλεως οὕτως· „Ἐπιδάμνιοι μὲν χώραν ἥνπερ καὶ ἐξ ἀρχῆς, πόλιν δὲ οὐ τὴν ἀρχαίαν ἐπὶ ἡμῶν ἔχουσιν, ἐκείνης δ’ ἀφεστηκυῖαν ὀλίγον· ὄνομα δὲ τῇ πόλει Δυρράχιον ἀπὸ τοῦ οἰκιστοῦ“.

57 …]σε S, suppl. alt. m. 60 ς̅ περὶ τῆς Berkel: η̅ τῆς περὶ S 62 Ἐπι | ..]μνιοι S, suppl. Tennulius 66 τῇ πόλει <τῇ *νῦν*> Meineke (e Paus. codd.)

nochmals: „Der Dyrrhachener Philonides war ein Schüler des Asklepiades, und nach erfolgreicher ärztlicher Tätigkeit in seiner Heimat verfasste er <eine Heilkunde> in fünfundvierzig Büchern". Ferner spricht Pausanias im sechsten Buch (6,10,8) folgendermassen von der alten und von der gegenwärtigen Stadt: „Die Epidamnier besitzen zwar <immer noch dasselbe> Land, das sie von Anfang an <besiedelt hatten>, wohnen aber heutzutage nicht mehr in der alten Stadt, sondern <in einer>, die von jener ein bisschen entfernt ist; diese Stadt heisst nach ihrem Gründer Dyrrhachion".

144 Δυσπόντιον· πόλις Πισαίας, ἀπὸ Δυσπόντου τοῦ Πέλοπος, παρὰ τὴν ὁδὸν τὴν ἐξ Ἤλιδος εἰς Ὀλυμπίαν. ἀπὸ ταύτης Ἀντίμαχος ἦν ὀλυμπιονίκης νικήσας {ἐν ὀλυμπιάδι} στάδιον. Φλέγων ἐν ὀλυμπιάδι β̅ (FGrHist 257 F 4) „Ἀντίμαχος Ἠλεῖος ἐκ Δυσποντίου στάδιον“. καὶ ἐν κ̅ζ̅ (FGrHist 257 F 6) „Δάιππος Κροτωνιάτης πύξ, <***> Ἠλείων ἐκ Δυσποντίου τέθριππον“. μέμνηται αὐτῆς καὶ Τρύφων ἐν Παρωνύμοις (fr. 87 Velsen) γράφων οὕτως τὸ ἐθνικόν „οἱ δὲ Δυσποντεῖς οὐ παρὰ τὴν πόλιν Δυσπόντιον καλοῦνται (ἐλέγοντο
246 γὰρ <ἂν> Δυσποντιεῖς), παρὰ δὲ τὸν Πέλοπος υἱὸν Δύσποντον“.

145 Δύστος· πόλις Εὐβοίας. Θεόπομπος ἐν Φιλιππικῶν κ̅δ̅ (FGrHist 115 F 149) „ἀποστήσας δὲ τοὺς ἐν αὐτῇ τῇ περιοικίδι τῶν Ἐρετριέων ἐστράτευσεν ἐπὶ πόλιν Δύστον“. τὸ ἐθνικὸν Δύστιος.

Δυσπόντιον· πόλις Πισαίας, ἀπὸ Δυσπόντου τοῦ Πέλοπος. τὸ ἐθνικὸν Δυσποντεύς, ἔδει δὲ Δυσποντιεύς.

Δύστος· πόλις Εὐβοίας. Θεόπομπος ἐν Φιλιππικῶν κ̅δ̅ (FGrHist 115 F 149). τὸ ἐθνικὸν Δύστιος.

---

144 eponymus Δυσποντεύς Oenomai filius apud Paus. 6,22,4 Str. 8,3,32 (C 357,5) τὸ Δυσπόντιον κατὰ τὴν ὁδὸν τὴν ἐξ Ἤλιδος εἰς Ὀλυμπίαν ἐν πεδίῳ κείμενον

---

144 2 Δυσπόντου Berkel: δυσποντίου S 6 ἐν ὀλυμπιάδι secl. Meineke 7 inter στά et διον 2–3 litt. in ras. S 8 β̅ Bergk (Opusc. II 291, ex Eus. Arm. GCS V [1911] 91,1): δ̅ S 12 ante Ἠλείων nomen victoris excidisse susp. Bergk, Ἠλεῖος pro Ἠλείων scribendum cens. Meineke in app. („id ipsum … nomen victoris“) Δυσποντίου Tennulius: δυσπόντου S 13 δ’ ante αὐτῆς add. Tennulius 18 ἂν add. Kambylis (iam Bergk, loc. cit. 292) 19 υἱὸν S in marg. **145** 4 περιοικίδι Meineke: περιοικία S

144 2 Δυσπόντου Berkel: δυσποντίου RQPN

144. Dyspontion, Stadt in der Pisaia, nach Dyspontos <benannt>, dem Sohn des Pelops, an der Strasse von Elis nach Olympia.[168] Aus dieser <Stadt> stammte Antimachos, Sieger an den Olympischen Spielen im Stadionlauf. Phlegon <erwähnt ihn> bei der zweiten Olympiade (FGrHist 257 F 4): „Der Eleier Antimachos aus Dyspontion <hat> den Stadionlauf <gewonnen>". Und bei der siebenundzwanzigsten Olympiade (FGrHist 257 F 6) <sagt er>: „Der Krotoniat Daïppos hat im Faustkampf, <***> von den Eleiern aus Dyspontion mit dem Viergespann gewonnen". Die Stadt erwähnt auch Tryphon in den *Ableitungen* (fr. 87 Velsen), wobei er das Ethnikon auf folgende Weise <ohne Iota> schreibt: „Die Dysponteer nennt man aber nicht nach der Stadt Dyspontion (denn sie würden Dyspontieer heissen), sondern nach Dyspontos, dem Sohn des Pelops".

Dyspontion, Stadt in der Pisaia, nach Dyspontos <benannt>, dem Sohn des Pelops. Das Ethnikon <lautet> Dysponteer, es müsste aber Dyspontieer <lauten>.

145. Dystos, Stadt auf Euboia.[169] Theopomp <erwähnt sie> im vierundzwanzigsten Buch der *Philippika* (FGrHist 115 F 149): „Nachdem er aber die <Bewohner> in der Umgebung der Eretrier selbst zum Abfall gebracht hatte,[170] marschierte er gegen die Stadt Dystos". Das Ethnikon <lautet> Dystier.

Dystos, Stadt auf Euboia. Theopomp <erwähnt sie> im vierundzwanzigsten Buch der *Philippika* (FGrHist 115 F 149). Das Ethnikon <lautet> Dystier.

---

[168] Inventory Nr. 250.

[169] Inventory Nr. 369.

[170] Meinekes Verbesserung περιοικίδι drängt sich auf, ist doch περιοικία vor allem in der spätgriechischen Grammatikersprache belegt, vgl. Orion 25,14; Et. Gud. 123,17 und 19 De Stefani.

146 Δωδώνη· πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ’ ἣν Δωδωναῖος Ζεύς· „Δωδώνης μεδέων“ (Π 234). καὶ Διονύσιος (430) „Δωδώνης ἤπειρος ἀπείριτος ἐκτετάνυσται“. Φιλόξενος δ’ ὁ τὴν Ὀδύσσειαν ὑπομνηματίζων (fr. 402 Theodoridis) δύο φησί, Θετταλικὴν καὶ Θεσπρωτικήν, οὕτως· „Δωδώνην νῦν φησι τὴν Θεσπρωτικὴν ἐν ᾗ τὸ μαντεῖον ἐκ τῆς δρυός, ἑτέρα δὲ ἡ Θετταλικὴ ἀφ’ ἧς ὁ Ἀχιλλεὺς καλεῖ τὸν Δία“. ἔοικε δὲ οὕτως ἐπιλελῆσθαι τὸ „ἀμφὶ δὲ Σελλοὶ | σοὶ ναίουσ’ ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι“ (Π 234–35). πῶς γὰρ τούτων μέμνηται ἀπὸ τῆς Θετταλικῆς καλῶν αὐτόν; οὕτω δὲ καὶ Ἐπαφρόδιτος ἐν τῇ π̄ τῆς Ἰλιάδος (fr. 35 Braswell/Billerbeck = fr. 39 Lünzner) „τιμᾷ τοὺς ἐν Δωδώνῃ

Δωδώνη· πόλις τῆς Μολοσσίδος ἐν Ἠπείρῳ, καθ’ ἣν Δωδωναῖος Ζεύς. καὶ „Δωδώνης μεδέων δυσχειμέρου“ (Π 234). Φιλόξενος (fr. 402 Theodoridis) δὲ δύο φησί, Θεσπρωτικὴν καὶ Θετταλικήν, κακῶς. τὸν δὲ Δωδωναῖον ἔλεγον καὶ Νάιον. Ζηνόδοτος (p. 116 Düntzer) δὲ γράφει <Φη>γωναῖος, ἐπεὶ ἐν Δωδώνῃ πρῶτον φηγὸς ἐμαντεύετο. ἄλλοι δὲ γράφουσι Βωδωναῖε. πόλιν γὰρ εἶναι Βωδώνην, ὅπου τιμᾶται. εἴρηται ἀπὸ Δωδώνης μιᾶς τῶν Ὠκεανίδων νυμφῶν, ἢ ἀπὸ Δωδώνου τοῦ Διὸς καὶ Εὐρώπης, ἢ ἀπὸ Δώδωνος ποταμοῦ. λέγεται δὲ καὶ Δωδών, ἧς τὸ ἐθνικὸν οὐχ εὕρηται. σχηματίζεται δὲ Δωδώνιος. τὸ θηλυκὸν Δωδωνίς. ἔστι καὶ παροιμία (Zen. 6,5 [I 162 Leutsch/Schneidewin]) „Δωδωναῖον χαλκεῖον“ ἐπὶ

---

146 Str. 7,7,10–7 fr. 2 (C 329,10); Sch. bT ad Π 233a[1]; Eust. ad B 750 (I 524,18) Δωδώνη δέ, ἀφ’ ἧς ἐν τοῖς ἑξῆς που Δωδωναῖος Ζεύς, πόλις Μολοσσίδος ἐν Ἠπείρῳ, ὡς ὁ τῶν Ἐθνικῶν καταγραφεὺς δηλοῖ, ὃς οὐδὲ ἀρέσκεται τοῖς εἰποῦσιν αὐτὴν Θεσπρωτικὴν καὶ Θετταλικήν. καὶ μὴν ἕτεροι ἐν ὑπερβορέῳ τῆς Θεσπρωτίας αὐτὴν τιθέασιν, ἔνθα ἱερὸν καὶ τὸ ἐκ δρυὸς μαντεῖον τοῦ Δωδωναίου Διός, ἣν δρῦν πολύγλωσσον λέγει ὁ Σοφοκλῆς (Tr. 1168), ἤγουν πολύφωνον. ὠνομάσθη δὲ ἡ Δωδώνη ἀπὸ Δωδώνης, ἡρωΐδος ἢ Ὠκεανίδος νύμφης, ἢ ἀπὸ Δώδωνος ποταμοῦ. ἐλέγετο δὲ καὶ Δωδὼν δισυλλάβως. ἐξ αὐτῆς τὸ παροιμιαζόμενον Δωδωναῖον χαλκίον ἐπὶ τῶν πολυλόγων. Χαλκίον γὰρ τὸ καὶ ἀλλαχοῦ πλατύτερον δηλωθησόμενον ἤχει αὐτόθι πληττόμενον τεχνικῶς ὑπὸ μάστιγος ἢ καὶ κατὰ βίαν ἀνέμων. ὅτι δὲ καὶ δυσχείμερος ἡ Δωδώνη μεμαρτύρηται. idem similiter sed brevius ad D. P. 428 (p. 298,8) πόλις ἦν Δωδώνη, ἀπὸ Δωδώνης τῆς Διὸς καὶ Εὐρώπης, ἢ ἐκ ποταμοῦ Δώδωνος   de etymologia apud Apollodorum (FGrHist 244 F 88) praebita cf. Sch. A ad Π 233a[2] τινὲς δὲ Δωδώνην τὴν γῆν, παρόσον πάντα δίδωσιν, 233b (bT) varie de Πελασγικέ   Str. 8,5,3 (C 364,22) ‚Δωδώ‘ δὲ τὴν Δωδώνην Σιμμίας

---

146 6 ἐκτετάνυσται S, D. P. codd. nonnulli: ἐστεφάωται D. P. codd. V   11 μαν[… | ον S, suppl. Tennulius   13 ἀχιλ[… | καλεῖ S, suppl. Tennulius   15 ἀμ[… | σελλοῖς οἳ S, suppl. et corr. Montfaucon (ex Hom. codd.)   16 χαμαιευ[… S, suppl. Montfaucon (ex Hom. codd.)   18 θετταλικῆς [.. | λῶν αὐτὸν S, suppl. Tennulius

146 2 καθ’ ἣν RQ: μεθ’ ἣν PN   4 δυσχειμέρου PN: -χειμέρρου RQ   8 καὶ Νάιον Voss: καιναῖον RQPN   10 <Φη>γωναῖος Pinedo: γωναῖος (ex haplographia) RQPN   13 Βωδώνην Pinedo: βωδώνων RQPN   17 δώδωνος S: δωδῶνος RQ, δῶνος PN   19 τὸ δὲ θηλυκὸν PN   20 ἔστι δὲ καὶ PN   22 χαλκίον Q

146. Dodone, Stadt im Gebiet der Molosser in Epeiros,[171] nach welcher Zeus Dodonaios <genannt wird>, „über Dodone herrschend“ (Il. 16,234). Und Dionysios (der Perieget, 430) <sagt>: „Das Festland von Dodone erstreckt sich grenzenlos“. Philoxenos aber nennt in seinem Kommentar zur *Odyssee* (fr. 402 Theodoridis) zwei Städte <namens Dodone>, eine in Thessalien und eine in Thesprotien, wobei er Folgendes sagt: „Nun spricht er (d.h. Homer) von Dodone in Thesprotien, wo es ein Orakel aus einer Eiche gibt; das andere Dodone hingegen liegt in Thessalien, nach welchem Achill den Zeus <Dodonaios> anruft“. <Philoxenos> scheint aber mit dieser Auslegung Folgendes vergessen zu haben: „Um dich herum wohnen die Seller, deine Orakeldeuter, <die Männer>, die ihre Füsse nie waschen und auf dem nackten Erdboden schlafen“ (Il. 16,234–35). Denn wie kann er (d.h. Achill) Bezug auf sie nehmen, wenn er Zeus vom thessalischen Dodone herbeiruft? So <erklärt> aber auch Epaphroditos im <Kommentar zum> sechzehnten Buch der *Ilias* (fr. 35 Braswell/Billerbeck = fr. 39 Lünzner): „Er (d.h. Homer) ehrt die <Priester>, welche in

Dodone, Stadt im Gebiet der Molosser in Epeiros, nach welcher Zeus Dodonaios <genannt wird>. Und „über das winterliche Dodone herrschend“ (Il. 16,234). Philoxenos (fr. 402 Theodoridis) aber nennt zwei Städte <namens Dodone>, eine in Thesprotien und eine in Thessalien, zu Unrecht. Ferner nannte man den (Zeus) Dodonaios auch Naios (Gott der Quellen). Zenodotos (S. 116 Düntzer) aber schreibt Φηγωναῖος, weil in Dodone das Orakel zuerst aus einer Eiche (φηγός) gegeben wurde. Andere wiederum schreiben Βωδωναῖε, gebe es doch eine Stadt Bodone, wo Zeus verehrt werde. Benannt wurde die Stadt nach Dodone, einer Okeanide, oder nach Dodonos, dem Sohn des Zeus und der Europe, oder nach Dódon, einem Fluss. Man sagt auch Dodón, wovon man kein Ethnikon findet. Gebildet wird Dodonier. Das Femininum <lautet> Δωδωνίς (Dodonidin, dodonische). Auch einen sprichwörtlichen Ausdruck „Dodoner-Kessel“ (Zen. 6,5 [I 162 Leutsch/Schneidewin]) gibt es, <gemünzt> auf Leute, die viel schwatzen, oder weil das Bronzebecken unter dem Schlag der Peitsche hallt oder weil es unter der Wucht des Windes erdröhnt. Davon kommt das Sprichwort.

42 And. 1,17 ἐν Θημακῷ   Harp. θ 21 Θημακεύς· Ἀνδοκίδης ἐν τῷ Περὶ μυστηρίων. δῆμός ἐστι φυλῆς τῆς Ἐρεχθηΐδος Θημακός, ὥς φησι Διόδωρος ὁ περιηγητὴς ἐν τῷ Περὶ τῶν δήμων (FGrHist 372 F 1); similiter Phot. θ 161 (= Suid. θ 340 et EM 451,10), sed θ 162 Θημαχός   **43** de conditore cf. Sch. Pi. P. 4,88c ὑπέμειναν γὰρ ἐν Θήρᾳ μετὰ Μεμβλιάρεω τοῦ Κάδμῳ συνεξορμήσαντος Φοίνισσαί τινες γυναῖκες   Eust. D. P. 530 (p. 320,14) ἔστι δὲ τῶν Σποράδων … ἡ Θήρα … · ἐν ταύτῃ οὔτε τοὺς ἐτῶν ν̅ θνήσκοντας ἐθρήνοῦν, οὔτε τοὺς ἑπταετεῖς, εἰ θάνοιεν   **44** Str. 1,3,16 (C 57,26) Θήραν καὶ Θηρασίαν νήσους ἱδρυμένας ἐν τῷ μεταξὺ πόρῳ Κρήτης καὶ τῆς Κυρηναίας (ubi vide Radt in app.)   **45** Eust. D. P. 828 (p. 363,6) Καὶ πρὸς τῷ Πόντῳ δὲ Θίβα, τόπος διὰ τοῦ ι ἔχων τὴν παραλήγουσαν, ἀπὸ μιᾶς τῶν ὑφ' Ἡρακλέος ἀναιρεθεισῶν Ἀμαζόνων σχοῦσα τὴν κλῆσιν, ὧν αἱ διάφοροι, τουτέστιν αἱ ὑπερέχουσαι καὶ ἀξιολογώτεραι, κατὰ τὴν τοῦ Ἀρριανοῦ ἱστορίαν (FGrHist 156 F 84), εἰσὶν αὗται πρὸς ὄνομα, Τράλλα, Ἰσοκράτεια, Θίβα, Πάλλα καὶ ἄλλαι   de populo cf. Phylarch. FGrHist 81 F 79a (Plu. Moralia 680d-e) et b (Plin. nat. 7,17). Plinius praebet Thibiorum (sc. genus), sed Plutarchus Θιβεῖς (θηβ- codd.); cf. Hsch. θ 576 Θίβεις· γυναῖκες (γόητές Salmasius) τινες   **46** Lyc. 1390 οἳ Θίγρον οἰκήσουσι Σάτνιόν τ' ὄρος; Par. ant. Lyc. 1390 οἵτινες τὴν πόλιν Καρίας Θίγρον οἰκήσουσι· Καρίας ὄρος; cf. Sch. Lyc. 1392 Θίγγρον· Θίγγρος πόλις Ἰκαρίας Σάτνιον δὲ ὄρος Ἰκαρίας

---

42 1 Θημακός Meineke (mon. Holste): Θημακοὶ RQPN   2 θημακεύς (ex -καῖος) R[pc]   3 θημακὸν δὲ θημακοὶ Q   **43** 1 Μεμβλιάρου Xylander: μεμαλιάρου RQPN   2 ἐτῶν η̅ RQPN: ἐτῶν ν̅ Eust.   4 θηρασία N: θηρασίας RQP   **44** 1 πόρω PN: πόροω R, πόρρω Q   κηρηναίας R (ut vid.)   **45** 1 Θιβαΐς Holste: Θηβαΐς RQPN, Θίβα Berkel (ex Eust.)   2 ἀναιρεθεισῶν RQ: ἀναιρεθείσης PN   φασι RPN: φησι Q   3 θήβαν N   4 θήβιος et θήβης PN   5 βασκαντικὸν Q[pc]PN: βασκανιτικὸν R, βασγαν-Q[ac]   6 πλησιάζει R   7 ῥιφέντα εἰς θάλασσαν PN **46** 1 Καρίας post πόλις add. Meineke (e Sch. Lyc.)

42. Themakos, Demos der Phyle Erechtheïs, laut Phrynichos (fr. 29 Borries) jedoch der Phyle Ptolemaïs. Der Demot <heisst> Themakeer. Das Topikon <lautet> ‚aus Themakos' (Θημακόθεν), ‚nach Themakos' (Θημακόνδε), ‚in Themakos' (Θημακοῖ).

43. Thera, eine der Sporaden;[45] <die Stadt Thera ist> eine Gründung des Membliaros aus der Gefolgschaft des Kadmos. Dort pflegte man die im Alter von acht Jahren Gestorbenen nicht zu beklagen, auch nicht die im Alter von sieben. Es gibt auch eine unbedeutende Stadt <dieses Namens>, Rhodos zugehörig. Und in Karien <befindet sich> eine weitere.[46] Und eine weitere in der Sogdiane. Der Einwohner <heisst> Theraier, und <das Femininum lautet> Theraierin. Und <das Ktetikon lautet> theraisch. Das Ethnikon Therasier hingegen <ist hier> falsch am Platz. Therasia <ist> nämlich ein <eigenes> Inselchen, wovon die Rede sein wird.[47]

44. Therasia, Insel im Fahrwasser zwischen Kreta und der Kyrene. Das α ist lang, <wie im Beispiel> „zwischen Thera und Therasia" (Apollod. FGrHist 244 F 351).[48] Der Inselbewohner <heisst> Therasier.

45. Thibaïs, Gegend am Schwarzen Meer, benannt nach einer der von Herakles getöteten Amazonen. Denn man sagt,[49] die hervorragendsten seien gefallen: Tralla, Isokrateia, Thiba, Palla, Koia und Koinia. Der Bewohner der Gegend <heisst> Thibier, als <handelte es sich um> eine Ableitung von einem Nominativ ‚Thibe'. Es handelt sich um ein der Zauberkunst kundiges und unheilbringendes Volk, wie Didymos im zweiten Buch der *Symposiaka* (S. 370 fr. 1 Schmidt) <schreibt>: „Ihr Odem ist für den, der sich nähert, tödlich. Und ihre Leichen gehen nicht unter, wenn man sie ins Meer wirft".

46. Thibros, Stadt. Lykophron (1390) <schreibt>: „welche Thibros und den Berg Satnios bewohnen werden".[50] Das Ethnikon <lautet> Thibrier.

---

[45] Inventory Nr. 527, zur Verwechslung Sporaden/Kykladen, s. Inventory S. 732.

[46] Inventory S. 1110; s. auch Debord/Varinlioğlu, Hautes terres 35 f. (Lokalisierung) und 174–180 (Inschriften).

[47] Zum Ethnikon Θηράσιος s. F. Gschnitzer, in: Festschrift E. Risch (Berlin/New York 1986) 418 Anm. 16.

[48] S. dazu F. Jacoby, Apollodors Chronik. Eine Sammlung der Fragmente (Berlin 1902) 392 f.

[49] Obwohl Meineke mit seiner Vermutung, hier sei Arrian (vgl. Eust.) als Gewährsmann anzunehmen und also mit der Hs Q φησι zu schreiben, wohl das Richtige trifft, verlangt unser Text, so wie ihn die Epitome bietet, das φασι der Hss RPN.

[50] Zur Änderung der Namensform bei Stephanos gegenüber Lykophron (Θίγρον/Θίγγρον) s. Zgusta, Kleinasiatische Ortsnamen § 343, der Textverderbnis bei Stephanos für wahrscheinlich hält (trotz der Einhaltung der alphabetischen Reihenfolge).

47 Θίγγη· πόλις Λιβύης. Ἑκαταῖος Περιηγήσει (FGrHist 1 F 354). τὸ ἐθνικὸν Θίγγιος.

48 Θίς· πόλις Αἰγυπτία πλησίον Ἀβύδου. ὁ πολίτης Θινίτης. Ἀλέξανδρος Αἰγυπτιακῶν α̅ (FGrHist 273 F 2).

49 Θίσβη· πόλις Βοιωτίας. Ὅμηρος (Β 502) „πολυτρήρωνά τε Θίσβην“. ἀπὸ Θίσβης τῆς Ἀσωποῦ. λέγεται καὶ πληθυντικῶς. ὁ πολίτης Θισβαῖος. καὶ ὁ λιμὴν δὲ τῶν Θισβαίων, ὥς φησιν Ἐπαφρόδιτος (fr. 20 Braswell/Billerbeck = fr. 21 Lünzner). καὶ τὸ ἐπίνειον περιστε-
315 ρῶν πλῆρες. Ἰσμηνίας δὲ ὁ αὐλητὴς Θισβεύς ἐχρημάτιζε, καὶ ὁ Ἐρετριέων αὐλητὴς Θισβεύς.

50 Θμοῦις· πόλις Αἰγύπτου, ὡς Ξόις Σάις. ὁ πολίτης Θμουίτης.

51 Θοραί· δῆμος τῆς Ἀντιοχίδος φυλῆς. ὁ δημότης Θοραιεύς. τὰ τοπικὰ Θόραθεν Θόραζε Θόρασι.

52 Θορικός· δῆμος τῆς Ἀκαμαντίδος φυλῆς. Ἑκαταῖος (FGrHist 1 F 126) δὲ πόλιν αὐτήν φησιν. ὁ δημότης Θορίκιος καὶ Θορικεύς. τὰ τοπικὰ ἐκ Θορικοῦ Θορικόνδε Θορικοῖ.

53 Θόρναξ· ὄρος τῆς Λακωνικῆς. Νικόλαος δ̅ (FGrHist 90 F 29). τὸ ἐθνικὸν Θορνάκιος, ὡς Νάρυξ Ναρύκιος.

---

49 Eust. ad Β 502 (I 409,27) Ἡ δὲ Θίσβη πολίτην μὲν ἔσχε τὸν περίπυστον αὐλητὴν Ἰσμηνίαν· Θισβεὺς γὰρ ἦν· ἐκλήθη δὲ ἀπὸ Θίσβης, θυγατρὸς Ἀσωποῦ. ὁ δὲ λιμὴν τῶν Θισβέων καὶ τὸ ἐπίνειον ἔχει, φασί, πλῆθος περιστερῶν, ὡς καὶ ὁ ποιητὴς ἐπεσημήνατο Str. 9,2,28 (C 411,10) Ἡ δὲ Θίσβη Θίσβαι νῦν λέγονται. … · ἐπίνειον δ᾽ ἔχει πετρῶδες περιστερῶν μεστόν, ἀφ᾽ οὗ φησιν ὁ ποιητὴς „πολυτρήρωνά τε Θίσβην“ de Thisbe eponyma cf. Paus. 9,32,3 **51** Harp. θ 28 Θοραί· δῆμος τῆς Ἀντιοχίδος, ὥς φησι Διόδωρος (FGrHist 372 F 33); Phot. θ 197; Suid. θ 407; EM 453,21; sed cf. Theognost. An. Ox. 2,107,22 Θορά **52** Harp. θ 29 Θορικός (Θό- v.l.)· Ἰσαῖος ἐν τῷ Κατὰ Ποσειδίππου. δῆμός ἐστι τῆς Ἀκαμαντίδος ὡς ὁ αὐτὸς Διόδωρός φησιν ἐν τῷ Περὶ τῶν δήμων (FGrHist 372 F 16); Hsch. θ 646; Phot. θ 198; Suid. θ 410; sed EM 453,22 Θόρυκος accentus vacillat, cf. Theognost. An. Ox. 2,60,9 τὸ Θωρικὸς οἱ πλείους ὀξύνουσι de Thorico ἄστυ cf. St. Byz. 140,3

---

47 1 ἑκαταῖος PN: ἑκατῶν RQ **48** 1 θινήτης R **49** 2 θήσβην R θίσβης (ex θήσ-)R^{pc} 3 θισβαῖος et θισβαίων (ex θησ-)R^{pc} 5 πλῆρες N: πλῆθος RQ, πλήρη P ἐρετρίων Q 6 θισβεύς om. PN **51** 1 θοραιεύς R: θορακεὺς QP, θορεὺς N (fort. e Str. 9,1,21 [C 398,25] ubi codd. θορέας vel θωρέας) **52** 1 ἀκαμαντήιδος R, -τηίδος Q 2 τὴν πόλιν PN φασὶν Q θορίκιος QPN: θορικὸς R **53** 1 τετάρτα R 2 θορνάκυος R νάριξ ναρίκιος N

47. Thinge, Stadt in Libyen. Hekataios <erwähnt sie> in der *Periegesis* (FGrHist 1 F 354). Das Ethnikon <lautet> Thingier.

48. This, ägyptische Stadt, in der Nähe von Abydos.[51] Der Bürger <heisst> Thinit. Alexander (Polyhistor) <erwähnt sie> im ersten Buch der *Aigyptiaka* (FGrHist 273 F 2).

49. Thisbe, Stadt in Boiotien.[52] Homer (Il. 2,502) <sagt> „und das taubenreiche Thisbe“. Sie <ist> nach Thisbe, der Tochter des Asopos, <benannt>. Ihr Name wird auch im Plural verwendet. Der Bürger <heisst> Thisbaier. Auch der Hafen <ist> nach den Thisbaiern <benannt>, wie Epaphroditos (fr. 20 Braswell/Billerbeck = fr. 21 Lünzner) angibt. Der Aussen-Hafen <ist> voller Tauben. Der Aulet Ismenias wird Thisbeer genannt; und Thisbeus ist der eretrische Aulet.[53]

50. Thmuïs, Stadt in Ägypten,[54] <deren Name> wie Xoïs <und> Saïs <gebildet ist>. Der Bürger <heisst> Thmuït.

51. Thorai, Demos der Phyle Antiochis. Der Demot <heisst> Thoraieer.[55] Die Topika <lauten> ‚aus Thorai‘ (Θόραθεν), ‚nach Thorai‘ (Θόραζε), ‚in Thorai‘ (Θόρασι).

52. Thorikos, Demos der Phyle Akamantis. Hekataios (FGrHist 1 F 126) sagt, <Thorikos sei> eine Stadt. Der Demot <heisst> Thorikier und Thorikeer. Die Topika <lauten> ‚aus Thorikos‘ (ἐκ Θορικοῦ), ‚nach Thorikos‘ (Θορικόνδε), ‚in Thorikos‘ (Θορικοῖ).

53. Thornax, lakonischer Berg.[56] Nikolaos <erwähnt ihn> im vierten Buch (FGrHist 90 F 29). Das Ethnikon <lautet> Thornakier, <gebildet> wie <zu> Naryx Narykier.[57]

---

51 Calderini/Daris, Dizionario 2,281.

52 Inventory Nr. 223; H.-J. Gehrke, Klio 75 (1993) 145–154. Zur Hafensituation s. K. Freitag, Der Golf von Korinth. Historisch-topographische Untersuchungen von der Archaik bis in das 1. Jh. v. Chr. (München 1999) 157 mit Anm. 832 und 835; zur Bedeutung von Epineion „Aussen-Hafen“ ders. 311 f.

53 Zu Ismenias s. I.E. Στεφανής, Διονυσιακοί τεχνῖται. Συμβολές στην προσωπογραφία του θεάτρου και της μουσικής των αρχαίων Ἑλλήνων (Ηράκλειο 1988) Nr. 1295 und zu dem eretrischen Auleten Nr. 890 (wo Stefanis jedoch zu Unrecht hinter dem Gen. Plural Ἐρετριέων einen Eigennamen vermutet). Die Unterscheidung in den Ethnikaformen (Θισβαῖος und Θισβεύς), wofür Stephanos das Zeugnis des Epaphroditos heranzieht, ist Eustathios offenbar entgangen; für einen Gesamtkommentar des Artikels s. Braswell/Billerbeck, Epaphroditus 172–174.

54 Calderini/Daris, Dizionario 2,288.

55 Die von der Hs R gegebene Form des Demotikons findet sich in den Inschriften (z. B. IG I^{3} 465,118; IG II^{2} 6215) wieder, s. Büchler, Diodoros der Perieget 64 Anm. 150.

56 Inventory S. 576, es handelt sich dabei um ein Apollonheiligtum. Ein Berg Thornax ist bei Hermione in der Argolis bezeugt (vgl. Paus. 2,36,1; Sch. Theoc. 15,64). Vermutlich wurden bei der Epitomierung die beiden Informationen zusammengeschmolzen.

57 Zu naryx/naryka s. jetzt den neuen Brief Hadrians: Ch. P. Jones, JRA 19 (2006) 151–162; D. Knoepfler, REG 119 (2006) 1–34.

54 Θούλη· νῆσος μεγάλη ἐν τῷ Ὠκεανῷ ὑπὸ τὰ Ὑπερβόρεια μέρη, ἔνθα τὴν θερινὴν ἡμέραν ὡρῶν κ̅ ὁ ἥλιος ἰσημερινῶν ποιεῖ, τὴν δὲ νύκτα δ̅, τὰς δὲ χειμερινὰς τοὐναντίον. τὸ ἐθνικὸν Θουλαῖος, ἴσως δὲ καὶ Θουλίτης.

55 Θούριοι· πόλις Ἰταλίας, ἡ πρότερον Σύβαρις, ἀπὸ Θουρίας πηγῆς· ὕστερον δὲ Κωπίαι. λέγεται καὶ Θουρία, καὶ Θούριον ὡς ἐν τῷ Ἡροδότου ἐπιγράμματι (Page, FGE 154 [1748–51])

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν,
316 Δωρίδος ἐκ πάτρης βλαστόντ᾽· ἀστῶν γὰρ ἄπλητον
μῶμον ὑπεκπροφυγὼν Θούριον ἔσχε πάτρην.

τὸ ἐθνικὸν ὁμωνύμως Θούριοι, καὶ Θουριακοί, καὶ Θουρῖνος οἶνος, ὡς Στράβων (6,1,14 [C 264,1]). καὶ ὤφειλε δὲ παρὰ τὸ Θούριον Θουριανός, ὡς Πάριον Παριανός, ἢ παρὰ τὴν Θουρίαν, ὡς Ὀλβιανός. <***> Παυσανίας (4,31,1) δὲ Ἄνθειαν αὐτήν φησι. καὶ τὸ ἐθνικὸν Θουριᾶται καὶ Θουριάς τὸ θηλυκὸν καὶ Θουριεύς. τινὲς δὲ Θουνίαν καὶ Θουνιάτας.

---

54 Sch. D. P. 582 (p. 451b31) ἄνεισι καὶ Θούλην, ὅπου φασὶ τὸν ἥλιον ἐπὶ τὰς ἄρκτους ἥκοντα παρατείνειν ἐπὶ πολὺ τὴν θερινὴν ἡμέραν. κ̅ γὰρ ὡρῶν ἰσημερινῶν αὐτὴν ποιεῖ ἐκεῖ καὶ τεττάρων τὴν νύκτα, χειμῶνος δὲ τὰ ἀνάπαλιν; cf. Eust. D. P. 581 (p. 329,30). Etiam Ptol. Geog. 8,3,3 Ἡ μὲν οὖν Θούλη νῆσος τὴν μεγίστην ἡμέραν ἔχει ὡρῶν ἰσημερινῶν κ̅ gentile Θουλίτης apud Procop. Goth. 2,15,23; Phot. Bibl. 110b5 **55** contracta haec e Str. 6,1,13 (C 263,13–31) de fonte Thuria et de civitate Θούριον cf. D. S. 12,10,6 St. Byz. 589,3 Σύβαρις· … ἡ δὲ πόλις ὕστερον ὠνομάσθη Θούριον de Copiis colonia Latina cf. Liv. 34,53,1; Str. 6,1,13 (C 263,31) Κωπίας (A, κωπιὰς vel κοπίας v.l.) formam Θουρία praebet e.g. Ps.-Scyl. 12 Sch. ad Tz. H. 1,22 Leone Ἡρόδοτον Ξύλεω κρύπτει κόνις ἧδε θανόντα, | Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν, | Δωρίδος ἐκ πάτρης βλαστόντ᾽ ἄπο· τὸν (Pressel, βλαστῶν τ᾽ ἄπο· τῶς codd.) γὰρ ἄτλητον | μῶμον ὑπεκπροφυγὼν Θούριον ἔσχε πάτρ<αν> de Thuria Messenia cf. e.g. Str. 8,4,5 (C 360,26); Paus. 4,31,1 ἡ Θουριατῶν πόλις, Ἄνθειαν δὲ αὐτὴν ἐν τοῖς ἔπεσιν ὠνομάσθαι τοῖς Ὁμήρου λέγουσι· … τὴν Θουρίαν; sed Ptol. Geog. 3,16,22 (3,14,43) Θούριον

---

54 1 ὑπὸ RQPN: ὑπὲρ Schubart (1843) 196 2 ὁρῶν R **55** 2 κωπίαι RQPN (cf. Str.): Κωπιαί Meineke 4 Λύξεω Meineke: λυξέω RQPN κρύπτε QP ἧδε QP 5 ἱστορίης susp. Berkel (e Sch. Tz. H.): ἱστορικῆς RQPN 6 Δωρίδος Holste (e Sch. Tz. H.): δῶδος RQ(sine acc.), δῶρον PN βλαστόντ᾽· ἀστῶν Meineke: βλαστόντ᾽ ἀπὸ· τῶ RQPN τῶ γὰρ iter. R ἄπλητον Xylander: -τος RQPN, ἄτλ- Sch. Tz. H. 7 ὑπεκπροφυγὼν Xylander Sch. Tz. H.: ἀπεκ- RQPN 8 οἶνος om. R 9 τὸ om. R Θούριον Meineke: θούριος RQPN ὡς ὀλβιανὸς post θουριανὸς add. PN 10 θουρίαν QPN: θουρίδα R lac. indic. Berkel, qui ἔστι καὶ Μεσσηνίας πόλις suppl. 11 θουριάται PN 12 θουνιάτης PN

54. Thule, grosse Insel im Ozean, hinter dem Hyperboreerland, wo die Sonne den Sommertag zwanzig Äquinoktialstunden, die Sommernacht hingegen vier Stunden andauern lässt, die Wintertage und -nächte jedoch umgekehrt <bemisst>.[58] Das Ethnikon <lautet> Thulaier, vielleicht aber auch Thulit.

55. Thurioi, Stadt in Italien,[59] das vormalige Sybaris, nach der Quelle Thuria <benannt>; später <hiess die Stadt> Copiae. Man nennt sie auch Thuria und Thurion, wie in der Grabinschrift auf Herodot (Page, FGE 154 [1748–51]):

Den Leib des Herodot, Lyxes' Sohn, birgt dieser Staub hier,
den Meister der altehrwürdigen ionischen Geschichtsforschung,
Spross einer dorischen Heimatstadt; denn der Bürger schlimmen
Tadel floh er unversehens <und> erlangte Thurion als Heimatstadt.

Das Ethnikon lautet gleich <wie der Stadtname> Thurier (Θούριοι),[60] auch Thuriaker; und Thuriner Wein, wie Strabon (6,1,14 [C 264,1]) <bezeugt>. Und es müsste in Ableitung von der Namensform Thurion <das Ethnikon> Thurianer <gebildet sein>, wie <man zu> Parion Parianer <bildet>, oder in Ableitung von der Namensform Thuria, <gebildet> wie Olbianer <zu Olbia>.[61] <Es gibt auch in Messenien eine Stadt dieses Namens>.[62] Pausanias (4,31,1) nennt sie Antheia. Und das Ethnikon <zu dieser Stadt lautet> Thuriaten, Thuriadin im Femininum, sowie Thurieer. Einige <sprechen von> Thunia und Thuniaten.

---

58 Zu den Tageslängen auf Thule s. S. Bianchetti, Pitea di Massalia, L'Oceano. Introduzione, testo, traduzione e commento (Pisa/Roma 1998) 153 f.

59 Inventory Nr. 74.

60 Vgl. St. Byz. α 292 οἱ πολῖται ὁμοίως, ὡς Θούριοι καὶ Θαυμακοί καὶ Λεοντῖνοι καὶ Δελφοί, οὕτως Ἀμφίδολοι.

61 Zur Bildung dieser Ethnika vgl. die Beispielreihen in St. Byz. α 33.

62 Inventory Nr. 322.

56 Θρᾴκη· ἀπὸ νύμφης Τιτανίδος, ἀφ᾽ ἧς καὶ Κρόνου Δόλογκος. ἔστι δὲ ἡ Θρᾴκη χώρα, ἣ Πέρκη ἐκαλεῖτο καὶ Ἀρία. τὸ ἐθνικὸν Θρᾷξ καὶ Θρᾷσσα. καὶ Θρᾷττα ἀττικῶς, καὶ ἡ ἀπὸ Θρᾴκης δούλη καὶ εἶδος ἰχθύος καὶ ὀρνέου. τὸ θηλυκὸν Θρᾳκία ἀπὸ τοῦ Θρᾴκιος καὶ Θρᾴκιον. τὸ δὲ Θραίκιος λέγεται καὶ διὰ μακροῦ τοῦ ι „ἀνέρα δὲ Τροίη Θρηίκιον οὔτε
317 φορήσει“ (Call. fr. 801 Pfeiffer). τὸ ἐθνικόν φασι καὶ Θρείκιον, καὶ θηλυκῶς Θρέισσαν. καὶ θρᾳκιστί τὸ ἐπίρρημα, ὡς ἀπὸ τοῦ θρᾳκίζω.

57 Θρᾳκῶν κώμη· πλησίον Ἀντιοχείας. τὸ ἐθνικὸν κατὰ τέχνην Θρᾳκοκωμήτης.

58 Θράμβος· ἀκρωτήριον Μακεδονίας. τὸ τοπικὸν Θραμβούσιος. ὁ γὰρ διὰ τοῦ σιος τύπος δύο συλλαβαῖς, εἰ μή τις βραχεῖα παραγωγὴ γένοιτο, τοῦ πρωτοτύπου περιττεύει. σεσημείωται τὸ Περκώσιος καὶ Κριθώσιος ἀπὸ τοῦ Περκώτη καὶ Κριθώτη.

---

56 Const. Porph. Them. 1,32 Ἡ δὲ Θρᾴκη ὀνομασίαν μὲν ἔσχεν ἀπὸ Θρᾳκὸς βασιλέως, τοῦ πάλαι ἐν αὐτῇ τελευτήσαντος· ἢ ἀπὸ νύμφης Τιτανίδος, ἀφ᾽ ἧς καὶ Κρόνου Δόλογκος, ὅθεν τὸ πρῶτον ἔθνος τῶν Θρᾳκῶν Δόλογκοι ὀνομάζονται de nymphae eponymae nomine cf. St. Byz. β 98 (169,20) Θρᾴκης τῆς Τιτανίδος; Eust. D. P. 322 (p. 274,37) Ὁ δ᾽ αὐτὸς Ἀρριανὸς (FGrHist 156 F 61a) καὶ Θρᾴκην τινὰ ἱστορεῖ νύμφην σοφὴν ἀμφὶ ἐπῳδάς τε καὶ φάρμακα, … ἀπὸ ταύτης τῆς Θρᾴκης δοκεῖ ὠνομάσθαι ἡ χώρα, Πέρκη ποτὲ καλουμένη; Sch. Lyc. 533 Et. Sym. C(92^{v})D(95^{v})E(66^{r})F(104^{v}) Θρᾷξ· (om. CD) Θράιξ· (ἐξ οὗ τὸ „Θρήικες ἀκρόκομοι“ [Δ 533; Hippon. fr. 115,6 West]) καὶ κατὰ συναίρεσιν, Θρᾷξ. καὶ τὰ παρ᾽ αὐτὸ θηλυκὰ σὺν τοῦ ι γράφεται (γράφεται om. E), οἷον Θρήισσα γυνή, καὶ Θράισσα· οἱ δὲ Ἀθηναῖοι δὲ Θρᾷττα λέγουσι. καὶ πάντα δὲ τὰ παρὰ τὸ Θρᾷξ ἔχει τὸ ι οἷον Θρᾴκη. Θρᾳκίας, καὶ πλεονασμῷ τοῦ σ, Θρασκίας, ὁ ἀπὸ Θρᾴκης (θράσκης C) πνέων ἄνεμος (CD, οἱ δὲ τὸν ἀπὸ θράκης πνέοντα ἄνεμον EF); cf. Zonar. p. 1051 **57** Chron. Pasch. 1 p. 535,20 ὄνομα δὲ τὸ χωρίον Θρᾳκῶν κώμη **58** Hdt. 7,123,1 Θεράμβω; Ps.-Scyl. 66 (67) Θραμβηΐς (πόλις); Lyc. 1405 Θραμβουσία … δειράς

---

56 1 <ἀπὸ Θρᾳκὸς βασιλέως τοῦ πάλαι ἐν αὐτοῖς τελευτήσαντος, ἢ> ante ἀπὸ et <Θρᾴκης> ante νύμφης add. Berkel (e Const. Porph.) Δόλογκος Xylander: δόλιγκος RQPN 3 θράττα RQ 5 Θραίκιος Holste: θράκιος RQPN θρήκιον RQ 6 φρόνησει R Θρείκιον Zubler: θρεικὸν QPN, θρείος R θηλυκὸν R 7 θρακηστὶ R **57** Θρᾳκῶν Meineke: Θράκων RQPN **58** 1 θραμβούσιος RPN: θραμβούσης Q 2 σιος PN: σίος RQ συλλαβαῖς Meineke: συλλαβάς R, συλλαβῶν QPN βραχεία RN 4 Περκώτη Holste: περκώπη RQPN καὶ om. R

56. Thrake (Thrakien), <benannt> nach einer Titanen-Nymphe, die mit Kronos einen Sohn Dolonkos <hatte>. Thrakien ist ein Land, das Perke und Aria hiess. Das Ethnikon <lautet> Thraker, und <im Femininum> Thrassin. Und im Attischen <sagt man> Thrattin, und <so heissen> sowohl die aus Thrakien stammende Sklavin als auch eine Fischart und eine Vogelart.[63] Das Femininum ‚die Thrakische' <ist> vom <Maskulinum> Thrakischer <abgeleitet>, auch <das Neutrum> Thrakisches. Man benutzt auch die Form thraikisch mit langem ι, <so z.B.> „Troia wird den thraikischen Mann nicht behalten können" (Call. fr. 801 Pfeiffer). Man benutzt auch das Ethnikon Threïkier, und im Femininum Threïssin.[64] Und das Adverb <lautet> ‚auf thrakisch', als <wäre> es vom Verb ‚thrakiern' <abgeleitet>.

57. Thrakon kome (Thrakerdorf), in der Nähe von Antiocheia. Das Ethnikon <lautet> nach den Regeln der Grammatik Thrakokomet.[65]

58. Thrambos, makedonisches Kap.[66] Das Topikon <lautet> thrambusisch; denn der Typus mit der Endung auf -σιος ist um zwei Silben länger als das Stammwort, es sei denn, man bildet eine Kurzform. Ausnahmen sind die Formen Perkosier und Krithosier, in Ableitung von Perkote und Krithote.

---

63 Zur Fischart s. D'Arcy W. Thompson, A glossary of Greek fishes (London 1947) 77; zur Vogelart ders., A glossary of Greek birds (London/Oxford 1936, Nachdruck Hildesheim 1966) 105.

64 Die Ethnikonformen Θρείκιον und Θρέισσα bleiben problematisch. Die Schreibweise mit ε, wie sie die Hss hier bieten, ist sonst nur bei Herondas 1,79 Θρέισσα zweifelsfrei überliefert. Die Stellen Archil. fr. 42 (Θρέϊξ) und fr. 93a,6 (Θρέιξιν), sowie Hippon. fr. 72,5 (Θρεϊκίων πώλων) und fr. 127 (Θρεϊκίη Βενδῖς) sind alles metrisch bedingte Konjekturen (Paradosis meistens mit η).

65 Fraser, Ethnic terminology 143 Anm. 81. Nicht erwähnt ist die bei Kyzikos gelegene Ortschaft Θρᾳκία κώμη vgl. Plu. Lucull. 9,2; zur inschriftlichen Bezeugung ihrer Bewohner (Θρᾳκιοκωμῆται) s. SEG 34, 1245.

66 Inventory Nr. 616.

10 **59 Θρία**· δῆμος τῆς Οἰνηίδος φυλῆς. λέγεται καὶ Θριώ. ὁ δημότης Θριάσιος, καὶ Θριάσιον πεδίον, ἔστι δὲ ὡς Τίθρας Τιθράσιος. τὰ πλεῖστα δὲ διὰ τοῦ ω, Θριῶθεν Θριῶζε <Θριῶσι>. καὶ Θριᾶσιν. ἀπὸ δὲ τοῦ Θριαί Θριαῖος. λέγεται δὲ καὶ Θριασικός. θριαί δὲ αἱ μαντικαὶ ψῆφοι, ἃς
318 ἐφεῦρεν Ἀθηνᾶ· ἀχθομένου δὲ τοῦ Ἀπόλλωνος ἄπιστον ὁ Ζεὺς ἐποίησε τὴν διὰ τῶν θριῶν μαντικὴν εὐδοκιμοῦσαν. διὸ καὶ Ἀπόλλων ἔφη (610 Parke/Wormell) „πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες“. ἔστι δὲ καὶ δῆμος Θρίων ἀπὸ Θρίαντος.

5 **60 Θρίγκη**· πόλις περὶ τὰς στήλας. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 356). τὸ ἐθνικὸν Θριγκαῖος ὡς Τρικκαῖος.

61 Θριοῦς· πόλις πάλαι τῆς Ἀχαΐας, νῦν δὲ τῆς Ἠλείας, ὅμορος Πάτραις, ἀπὸ Θριοῦντος Ἀθηναίου, ὃν Θησεὺς ἔπεμψε μετὰ στρατιᾶς συμμαχήσειν Ἡρακλεῖ. τὸ ἐθνικὸν Θριούντιος καὶ Θριάσιος.

11 **62 Θρόνιον**· πόλις Λοκρῶν. Ὅμηρος (Β 533) „Τάρφην τε Θρόνιόν τε Βοαγρίου ἀμφὶ ῥέεθρα“. τὸ ἐθνικὸν Θρόνιος καὶ Θρονίτης καὶ Θρονιεύς. τὸ δὲ Θρονίτης ἀπὸ τοῦ Θρονιώτης.

63 Θρύανδα· πόλις Λυκίας. ὁ πολίτης Θρυανδεύς.

---

59 Zen. Ath. 2,76(= Zen. 5,75 [I 150,4 Leutsch/Schneidewin]) Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες· Φιλόχορός (FGrHist 328 F 195) φησιν ὅτι Νύμφαι κατεῖχον τὸν Παρνασὸν τροφοὶ Ἀπόλλωνος τρεῖς, καλούμεναι Θριαί, ἀφ᾽ ὧν αἵ τε μαντικαὶ ψῆφοι θριαὶ καλοῦνται καὶ τὸ μαντεύεσθαι θριᾶσθαι. Ἄλλοι δὲ λέγουσι τὴν Ἀθηνᾶν εὑρεῖν τὴν διὰ τῶν ψήφων μαντικήν· ἧς εὐδοκιμούσης μᾶλλον τῶν Δελφικῶν χρησμῶν, τὸν Δία χαριζόμενον τῷ Ἀπόλλωνι ψευδῆ καταστῆσαι τὴν διὰ τῶν ψήφων μαντικήν. Πάλιν οὖν τῶν ἀνθρώπων ἐπὶ τοὺς Δελφικοὺς ἐρχομένων χρησμοὺς τὴν Πυθίαν εἰπεῖν· „Πολλοὶ θριοβόλοι, παῦροι δέ τε μάντιες ἄνδρες“ Hsch. θ 743 θριαί· αἱ πρῶται μάντεις. καὶ νύμφαι. καὶ αἱ μαντικαὶ ψῆφοι; θ 760 Θριοῦς· δῆμος φυλῆς Οἰνηΐδος; θ 768 Θριώ· δῆμος; θ 769 Θριῶζε· εἰς Θριάσιον πεδίον; cf. etiam Phot. θ 213 Θρεῖα (codd., Θρῖα Theodoridis)· δῆμος Οἰνηΐδος Theognost. An. Ox. 2,157,26 Θρίωσιν **61** Plin. nat. 4,22 *reliquae civitates in Achaia dicendae … Thriusi* gentile cf. SEG 15 (1958) 254,1 Ἀχαιῶν … Θριάσιοι **62** St. Byz. ζ 17 Ζεφυρίτης ἀπὸ τοῦ Ζεφυριώτης, συγκοπῇ τοῦ ω, ὡς τὸ Θρονίτης

---

59 1 Θρία RQPN: Θρῖα Meineke, Θριά fort. melius (cf. Ps.-Arc. 112,9) θριώ RQPN: Θριῶ Berkel 3 θριώθεν θριώζε καὶ θριάσιν R <Θριῶσι>. καὶ susp. Meineke (cf. Theognost. An. Ox. 2,157,26) 4 δὲ post λέγεται om. R καὶ ante ψῆφοι add. R ἃς Ald.: ἣν RQPN 5 ἐφεῦρεν Schneider (1849) 551: ἔφερεν RQPN, εὗρεν Meineke ἀχθομένου δὲ τοῦ Xylander: ἀχθομένους (ἀχθόμενος R^{pc}) δὲ τοὺς τοῦ R^{ac}QPN Ἀπόλλωνος <χρησμοὺς καταφρονηθῆναι> Meineke ὁ Ζεύς om. R 6 θριῶν Xylander: θρίων RQP, θηρίων N εὐδόκιμον οὖσαν R 7 θριοβόλοι Meineke in app.: θριό- RQPN 7 μάντιες N: μάντινες RQ(sine acc.)P δὲ post ἔστι om. RQ **60** 1 ἀσίᾳ Ald.: ἀσίας RQPN 2 ὡς τριγκαίος R **61** 2 μετὰ στρατιᾶς P(ut vid.)N: κατὰ στρατίας (στρατιὰς Q)RQ 3 θριάσιος RQPN: Θριούσιος Berkel (sed cf. similia) **62** 1 ταρφιόν τε R 3 θρωνιώτης R **63** θριανδεύς R

59. Thria, Demos der Phyle Oineïs. Man sagt auch Thrio. Der Demot <heisst> Thriasier, und <man sagt> Thriasische Ebene. <Diese Form> ist <gebildet> wie <zu> Tithras Tithrasier. Der grösste Teil <der Ableitungen> wird jedoch mit ω <gebildet>; <so lauten die Topika> ‚aus Thrio' (Θριῶθεν), ‚nach Thrio' (Θριῶζε), ‚in Thrio' (Θριῶσι), <aber> auch ‚in Thria' (Θριᾶσιν). Von der Form Thriai <ist> Thriaier <abgeleitet>. Man sagt auch thriasisch. Mit θριαί <bezeichnet man> die zum Weissagen gebrauchten Kiesel, welche Athene erfunden hatte; weil Apollon sich ärgerte, liess Zeus die Kiesel-Orakel unglaubwürdig erscheinen, trotz ihres <bis anhin> guten Rufes. Deswegen sagte auch Apollon (610 Parke/Wormell) „Viele Loswerfer <gibt es>, aber nur wenige Männer sind Seher". Es gibt auch einen Demos Thrion, <benannt nach> Thrias.[67]

60. Thrinke, Stadt bei den Säulen. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 356).[68] Das Ethnikon <lautet> Thrinkaier, <gebildet> wie Trikkaier.

61. Thrius, Stadt, einst zu Achaia, jetzt aber zu Elis <gehörig>, in der Nachbarschaft von Patrai. <Benannt ist sie> nach dem Athener Thrius, den Theseus mit einem Heer <dorthin> geschickt hat, damit er als Verbündeter auf seiten des Herakles kämpfe. Das Ethnikon <lautet> Thriuntier und Thriasier.

62. Thronion, Stadt der Lokrer.[69] Homer (Il. 2,533) <sagt> „Tarphe und Thronion bei den strömenden Wogen des Boagrios". Das Ethnikon <lautet> Thronier, Thronit und Thronieer. Die Form Thronit <ist> von Throniot <abgeleitet>.

63. Thryanda, Stadt in Lykien. Der Bürger <heisst> Thryandeer.[70]

---

[67] Die Lexika, z.B. EM 455,37 (vgl. Liste bei Theodoridis zu Phot. θ 221), geben eine leicht modifizierte Version. Dazu s. Jacobys Kommentar zu FGrHist 328 F 195. Allgemeiner zu dieser Form des Losorakels s. J. Fontenrose, Python. A study of Delphic myth and its origins (Berkeley/Los Angeles 1959) 426–433.

[68] Möglicherweise geht die Paradosis ἀσίας, wie auch in ι 2 und 8, auf ursprüngliches ἐν Ἀσίας περιηγήσει (vgl. α 4) zurück; dennoch empfiehlt sich im Licht von δ 150, ε 131, ζ 18, u.a. die Korrektur der Aldina.

[69] Inventory Nr. 388.

[70] Zgusta, Kleinasiatische Ortsnamen § 347.

64 Θρύον· πόλις τῆς Μεσσηνίας, ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων ὁμωνύμως τῷ φυτῷ λεγομένη. λέγεται δὲ ἀπὸ τοῦ φυτοῦ Θρυόεις καὶ Θρυόεσσα. κεῖται δ' ἡ πόλις παρὰ τὸν Ἀλφειόν. ὁ πολίτης Θρυοέντιος καὶ Θρυούντιος, ἐκ δὲ τῆς Θρυοέσσης Θρυουσσαῖος ὡς Σκοτουσσαῖος. καὶ Θρυούσιος ὡς Πιτυούσιος, καὶ Θρυίτης ὡς λικνίτης.

65 Θύαμις· κώμη ὑπὸ Σεμιράμιδος κτισθεῖσα παρὰ τὴν Ἀραχωσίαν. τὸ ἐθνικὸν Θυαμίτης.

319 **66 Θυάτειρα**· πόλις Λυδίας, ἡ πρότερον Πελόπεια καὶ Σεμίραμις, ἀπὸ Σελεύκου τοῦ Νικάτορος Λυσιμάχῳ πολεμοῦντος, καὶ ἀκούσαντος ὅτι θυγάτηρ αὐτῷ γέγονε, τὴν πόλιν ἐκάλεσε Θυγάτειρα. καὶ ἔδει θηλυκῶς· νῦν δὲ οὐδετέρως φασίν. ἐκαλεῖτο δὲ καὶ Μυσῶν ἐσχάτη. βουλομένων δὲ κτίσαι πόλιν τῶν Μυσῶν, ἀνεῖλεν ὁ θεός, οὗ ἂν ὁραθείη ἔλαφος τετοξευμένη καὶ τροχάζουσα κτίσαι, εὑρόντας δ' ὀνομάσαι διὰ τὸ θύειν καὶ τροχάζειν τὴν ἔλαφον. τὸ ἐθνικὸν Θυατειρηνός, ὡς Γάγγρα Γαγγρηνός. ἀφ' οὗ Νίκανδρος γραμματικὸς (FGrHist 343 T 1) Θυατειρηνὸς {ἢ Κολοφώνιος}.

67 Θυέλα· πόλις Οἰνωτρίας, ἐν ᾗ μοῖρα Φωκαέων ᾤκησεν, ὡς Ἡρόδοτος α̅ (1,167,3). τὸ ἐθνικὸν Θυελαῖος.

---

64 Il. 2,592 Θρύον, Ἀλφειοῖο πόρον; 11,711 s. ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη, | τηλοῦ ἐπ' Ἀλφειῷ Eust. ad Β 592 (I 459,2) Θρύον δὲ πόλις Ἤλιδος ἡ καὶ Θρυόεσσα. τοῦ Θρύου τὸ ἐθνικὸν Θρυΐτης· τῆς δὲ Θρυοέσσης Θρυοέντιος καὶ Θρυούντιος. ὁ δὲ τὰ Ἐθνικὰ γράψας φησί· Θρύον πόλις Μεσσηνίας· ἐκ τῶν ἐν αὐτῇ φυομένων θρύων ὁμωνύμως τῷ φυτῷ λεγομένη· ἔτι δὲ καὶ παρωνύμως Θρυόεις καὶ Θρυόεσσα, ὡς καὶ ἐν τοῖς ἑξῆς που φανεῖται. κεῖται δὲ περὶ τὸν Ἀλφειόν et Eust. ad Λ 711 (III 311,14) Τὴν δὲ Θρυόεσσαν πόλιν ὁ τὰ Ἐθνικὰ γράψας Θρύον λέγει ἀπὸ τῶν ἐν αὐτῇ φυομένων ὁμωνύμως τῷ φυτῷ κληθεῖσαν, καὶ τὸν πολίτην αὐτῆς Θρυΐτην, κατὰ δὲ παραγωγὴν ἀπὸ τοῦ φυτοῦ καὶ Θρυόεις ἡ αὐτὴ πόλις καὶ ὁ πολίτης Θρυούντιος. ἡ δ' αὐτὴ καὶ θηλυκῶς Θρυόεσσα καὶ ὁ πολίτης Θρυουσσαῖος καὶ Θρυούσιος. κεῖται δέ, φησίν, ἡ πόλις παρὰ τὸν Ἀλφειόν. Cf. etiam Str. 8,3,24 (C 349,14) ἣν δὲ λέγει (sc. Ὅμηρος) νῦν Θρύον ἐν ἄλλοις καλεῖ Θρυόεσσαν … Θρύον δὲ καὶ Θρυόεσσαν τὸ Ἐπιτάλιόν φασιν ὅτι πᾶσα μὲν ἡ ταύτῃ χώρα θρυώδης, μάλιστα δ' οἱ ποταμοί; Hsch. θ 797; Sch. AD ad Β 592 et Sch. AbTD ad Λ 711 **66** Str. 13,4,4 (C 625,19) Θυάτειρα, κατοικία Μακεδόνων, ἣν Μυσῶν ἐσχάτην τινές φασιν Plin. nat. 5,115 *Thyatira adluitur Lyco, Pelopia aliquando et Euhippia cognominata* **67** Hdt. 1,167,3 οἱ δὲ αὐτῶν (sc. τῶν Φωκαιέων) … ἐκτήσαντο πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην ἥτις νῦν Ὑέλη (-λλ- v.l.) καλέεται St. Byz. ε 41 Ἐλέα· πόλις Ἰταλίας … ἐκαλεῖτο δὲ Ὑέλη

---

64 1 Μεσσηνίας Xylander: μεσηνίας RQPN θρύων φυομένων R 2 φυτού R 3 παρὰ R Eust. ad Λ 711: περὶ Q(per comp.)PN Eust. ad Β 592 4 Θρυουσσαῖος Berkel (ex Eust.): θρυοεσσαῖος RQPN Σκοτουσσαῖος Berkel: σκοτουσαῖος QPN, σκουτουσαῖος R 5 Θρυούσιος Berkel (ex Eust.): θρυέσσιος QPN, θριοέσσιος R πιτούσιος PN **65** 1 ἀναχωσίαν N **66** 4 οὐδετέρως Ald.: οὐδέτερον RQPN 5 κτῖσαι Q μυσῶν R: μου- QPN 6 τοχάζουσα R 7 θύειν Berkel: θέειν RQPN 9 ἢ Κολοφώνιος del. Meineke **67** 1 Θυέλα Meineke: Θύελα R[pc], Θύελλα R[ac]QPN 2 τὸ om. QPN Θυελαῖος Meineke: -λλ- RQPN

64. Thryon, Stadt in Messenien,[71] die man nach den dort wachsenden Binsen mit eben diesem Pflanzennamen benennt. Man nennt sie in Ableitung von der Pflanze <auch> Thryoeis und Thryoessa. Die Stadt liegt am Alpheios. Der Bürger <heisst> Thryoentier und Thryuntier; von der Namensform Thryoessa <leitet man> Thryussaier <ab, gebildet> wie Skotussaier. Und <man sagt auch> Thryusier, <gebildet> wie Pityusier, und Thryit, <gebildet> wie Liknit.[72]

65. Thyamis, von Semiramis gegründetes Dorf bei Arachosien. Das Ethnikon <lautet> Thyamit.

66. Thyateira, Stadt in Lydien,[73] das frühere Pelopeia und Semiramis, von Seleukos Nikator im Krieg gegen Lysimachos <gegründet>.[74] Als er erfuhr, ihm sei eine Tochter geboren worden, nannte er die Stadt Thygateira. Und man sollte <den Namen der Stadt> im Femininum verwenden; jetzt jedoch verwendet man ihn im Neutrum. Sie hiess auch ‚letzte der Myser'. Als nämlich die Myser eine Stadt gründen wollten, offenbarte <ihnen> der Gott, sie sollten eine Stadt dort gründen, wo man eine von einem Pfeil getroffene, rennende Hirschkuh sehen würde; sobald sie diese gefunden hätten, sollten sie, weil die Hirschkuh dahingestürmt (θύειν) und gerannt war, die Stadt <Thyateira> nennen. Das Ethnikon <lautet> Thyateirener, <gebildet> wie <zu> Gangra Gangrener. Daher <wird> der Grammatiker Nikander ‚der Thyateirener' (FGrHist 343 T 1) <genannt>.

67. Thyela (Velia), Stadt in Oinotrien,[75] in der sich ein Teil der Phokaeer niedergelassen hat, wie Herodot im ersten Buch (1,167,3) <berichtet>. Das Ethnikon <lautet> Thyelaier.

---

71 Inventory S. 554.

72 Zum Ableitungsbeispiel λικνίτης (Korbträger), vgl. St. Byz. α 340 mit Anm. 504.

73 Cohen, Hell. settlements 1,238–242. Der Ortsname ist offenbar nichtgriechischer Herkunft, s. a.O. 238.

74 Meineke wollte das einhellig überlieferte ἀπό durch ὑπό ersetzen; dagegen vgl. St. Byz. α 76 Anm. 100.

75 Inventory Nr. 54.

68 Θυεσσός· πόλις Λυδίας, ὀξυτόνως. ἀπὸ Θυεσσοῦ καπήλου. ἔστι καὶ Πισιδίας, ἧς τὸ ἐθνικὸν Θυεσσεύς.

69 Θυμαιτάδαι· δῆμος τῆς Ἱπποθοωντίδος φυλῆς. ὁ δημότης Θυμαιτάδης. τὰ τοπικὰ ἐκ Θυμαιταδῶν καὶ τὰ λοιπά.

70 Θύμβρα· πόλις Τρῳάδος, Δαρδάνου κτίσμα, ἀπὸ Θύμβρου φίλου αὐτοῦ. οὗ ποταμὸς Θύμβριος, ἀφ᾽ οὗ Ἀπόλλωνος Θυμβραίου ἱερόν. λέγεται καὶ διὰ τοῦ ζ Ζυμβραῖος. λέγεται καὶ Θύμβριος. Ἑλλάνικος (FGrHist 4 F 151 = fr. 151 Fowler) δὲ Δύμβριός φησι διὰ τοῦ δ καὶ Δυμβριεύς.

71 Θύμβραρα· πόλις Ἀσίας τῷ Πακτωλῷ συνεχής, ὡς Ξενοφῶν (Cyr.
320 6,2,11). τὸ ἐθνικὸν Θυμβραρεύς ἔδει. Ξενοφῶν δὲ Θυμβραραῖός φησι.

72 Θύμβρις· ποταμὸς Ῥώμης, ὃς καὶ Τίβερις. τὸ ἐθνικὸν Θύμβριος καὶ Θυμβριάς.

73 Θυμιατηρία· πόλις Λιβύης. τὸ ἐθνικὸν Θυμιατήριος.

74 Θύνη· πόλις Λιβύης, ὡς ὁ πολυίστωρ Ἀλέξανδρος (FGrHist 273 F 120). ὁ πολίτης Θυναῖος ὡς Δωδωναῖος.

75 Θυνία· ἡ χώρα τῶν Θυνῶν. τὸ ἐθνικὸν Θυνός ὁμοφώνως τῷ οἰκιστῇ τῆς Θυνίας, ὡς Θετταλός Ἰταλός.

---

68 de Thyesso caupone cf. Nic. Dam. FGrHist 90 F 44,8 s. **69** Harp. θ 32 Θυμαιτάδαι· δῆμος τῆς Ἱπποθοωντίδος, ἀπὸ Θυμοίτου ἥρωος, ὥς φησι Διόδωρος (FGrHist 372 F 28); Hsch. θ 878; Phot. θ 251; sed Poll. 4,105 Θυμοιτάδαι **70** Eust. ad K 430 (III 104,7) Ἐν αὐτοῖς δὲ μέμνηται καὶ Θύμβρης, … ἣν ὁ τὰ Ἐθνικὰ συγγράψας πόλιν Τρῳάδος φησί, κτισθεῖσαν ὑπὸ Δαρδάνου ἐπὶ Θύμβρῳ τινὶ φίλῳ αὐτοῦ. εὐθεῖα δὲ ταύτης ἡ Θύμβρα. Λέγει δὲ ὁ αὐτὸς καὶ ποταμὸν αὐτόθι Θύμβριν, ἀφ᾽ οὗ Ἀπόλλωνος Θυμβραίου ἱερόν, ἐν ᾧ ἐτοξεύθη Ἀχιλλεύς. λέγεται δέ, φησί, καὶ διὰ τοῦ ζ, Ζυμβραῖος, ἔτι δὲ καὶ Θύμβριος ἢ κατὰ Ἑλλάνικον Δύμβριος διὰ τοῦ δ Str. 13,1,35 (C 598,8) πλησίον γάρ ἐστι τὸ πεδίον ἡ Θύμβρα καὶ ὁ δι᾽ αὐτοῦ ῥέων ποταμὸς Θύμβριος, ἐμβάλλων εἰς τὸν Σκάμανδρον κατὰ τὸ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερόν, τοῦ δὲ νῦν Ἰλίου καὶ πεντήκοντα σταδίους διέχει; Hsch. θ 868 Θύμβρα· τόπος τῆς Ἰλίου παρὰ τὸν Θύμβρον λεγόμενον ποταμὸν …, ὅπουγε καὶ ἱερὸν Ἀπόλλωνος Θυμβραίου; cf. EM 458,45 **72** Eust. ad K 430 (III 104,13) ὅτι δὲ καὶ Ῥώμης ποταμὸς Θύμβρις, ὁ καὶ Τίβερις, λέγει καὶ ὁ Περιηγητής (D. P. 352); Eust. D. P. 350 (p. 279,11) **73** Hanno Peripl. 2 (GGM 1,1,8) Θυμιατήριον; Ps.-Scyl.112 (95) Θυματηριάς (cod.) **75** de conditore cf. Eust. D. P. 793 (p. 356,18) λέγει δὲ ὁ αὐτὸς Ἀρριανὸς καὶ ὅτι ἄλλοι Ὀδρύσου παῖδάς φασι τὸν Θυνὸν καὶ τὸν Βιθυνόν, ὧν ἡ χώρα ὁμώνυμος; etiam Pherecyd. FGrHist 3 F 27 = fr. 27 Fowler παῖδας δὲ αὐτοῦ (sc. Phinei) φασι γενέσθαι Μαριανδυνὸν καὶ Θυνόν, καὶ ἀπὸ μὲν Θυνοῦ Θυνηΐδα, … προσαγορευθῆναι λέγουσιν

---

68 2 Πισιδίας Westermann: -σσ- RQPN **69** 1 Θυμαιτάδαι Holste (cl. Ar. V. 1138, cf. D. 35,34): Θυματίδαι R, Θυματάδαι QPN 1–2 Θυμαιτάδης Meineke: θυματίδης R, θυματάδης QPN 2 Θυμαιταδῶν Meineke: θυμαιτῶν R, θυμεταδῶν Q(ut vid., -μι- V, -μα- M), θυματαδῶν PN τὰ λοιπά Meineke in app. (cf. St. Byz. 261,21 et 305,7; etiam 35,17): τὰ ὅμοια RQPN **70** 1 Θύμβρου Holste (ex Eust.): θυμβραίου RQPN 2 θύμβριος R^{pc}QPN: -βρις R^{ac} ἀφ᾽ οὗ RQPN: ἐφ᾽ ᾧ dubitanter Keydell ἐν ᾧ ἐτοξεύθη Ἀχιλλεύς post ἱερόν add. Berkel (ex Eust.; cf. Sch. Lyc. 269a) 4 δύμβριος om. R **71** 2 Θυμβραρεύς Xylander: θυμβραεὺς RQPN **72** 1 ὃς QPN: ὡς R **73** λυβίης R **74** 1 ὁ ante πολυίστωρ om. N **75** 1 Θυνῶν et Θυνός Pinedo: θύνων et θῦνος R(θύνος)QPN 2 τῆς om. R

68. Thyessos, Stadt in Lydien,[76] endbetont, nach einem Wirt <namens> Thyessos <benannt>. Es gibt auch in Pisidien <einen Ort gleichen Namens>, dessen Ethnikon Thyesseer <lautet>.[77]

69. Thymaitadai, Demos der Phyle Hippothoontis. Der Demot <heisst> Thymaitade. Die Topika <lauten> ‚aus dem Thymaitaden<-Demos>' (ἐκ Θυμαιταδῶν) und so weiter.

70. Thymbra, Stadt in der Troas,[78] eine Gründung des Dardanos, nach seinem Freund Thymbros <benannt>. Dort fliesst der Thymbrios, nach welchem das Heiligtum des Apollon Thymbraios <benannt ist>. Man sagt <als Ethnikon> auch Zymbraier, mit ζ. Man sagt auch Thymbrier. Hellanikos (FGrHist 4 F 151 = fr. 151 Fowler) schreibt Dymbrier mit δ und Dymbrieer.

71. Thymbrara, Stadt in Asien, in unmittelbarer Nähe des Paktolos, wie Xenophon (Cyr. 6,2,11) <angibt>. Das Ethnikon müsste Thymbrareer <lauten>. Xenophon sagt jedoch Thymbraraier.[79]

72. Thymbris, Fluss bei Rom, der auch Tiber <heisst>.[80] Das Ethnikon <lautet> Thymbrier und <im Femininum> Thymbriadin.

73. Thymiateria, Stadt in Libyen. Das Ethnikon <lautet> Thymiaterier.

74. Thyne, Stadt in Libyen, wie Alexander Polyhistor (FGrHist 273 F 120) <sagt>. Der Bürger <heisst> Thynaier, <gebildet> wie Dodonaier.

75. Thynia, das Land der Thyner.[81] Das Ethnikon Thyner (Θυνός) lautet gleich wie <der Name des> Gründers von Thynien, <gebildet> wie Thettaler, Italer.[82]

---

76 Inventory S. 1037.

77 Robert, Carie 2,98 Nr. 5,12 χωρίον Θυησσόν mit S. 102.

78 Inventory S. 1002.

79 Inventory S. 1037. Xenophon erwähnt zwar zweimal den Namen der Stadt (Cyr. 6,2,11 εἰς Θύμβραρα und 7,1,45 ἐν Θυμβράροις), nicht aber das Ethnikon.

80 Stephanos erwähnt auch die Formen Τίβερις (α 195 [69,10], γ 81 [208,15]) und Τέβερις (609,19 [= Apollod. FGrHist 244 F 298]). Für einen Überblick über die verschiedenen griechischen Namensvarianten s. K. Meister, Lateinisch-Griechische Eigennamen (Leipzig/Berlin 1916) 61–64.

81 Pinedos Akzentuierung drängt sich im Lichte der Vergleichsethnika Θετταλός und Ἰταλός auf; vgl. auch Ps.-Arc. 72,15 τὰ εἰς υνος δισύλλαβα, εἰ μὴ κύρια εἴη, ὀξύνεται· θυνός. Der Eigenname Θυνός wird zumeist als oxyton geschrieben, so z. B. bei einhelliger handschriftlicher Überlieferung Hdt. 1,28; X. An. 7,2,22 und 4,14; A. R. 2,529. Str. 7,3,2 (C 295,21) ist die Überlieferung gespalten Θυνοί (B, θύνοι AC), einhellig jedoch 12,3,3 (C 541,29) Βιθυνῶν τε καὶ Θυνῶν; 12,3,27 (C 554,32) οὐδὲ Θυνοὺς οὐδὲ Βιθυνούς. Barytonese findet sich bei Hp. Epid. 7,108,1 τοῦ Θύνου (M, θύννου V, Θυνοῦ Littré); Nic. Dam. F 36 Giannini Θῦνοι (θύννοι A).

82 Zur Übereinstimmung von Gründernamen und Ethnikon vgl. St. Byz. α 130.

76 Θυνιάς· νῆσος πρὸς τῷ στόματι τοῦ Πόντου καὶ ἄκρα. τὸ ἐθνικὸν Θυνιάδιος ὡς Ψωφίδιος, καὶ Θυνιαδεύς. λέγεται καὶ Θυνή καὶ Θυνίς καὶ Θυνηίς.

77 Θυραῖον· πόλις Ἀρκάδων, κτίσμα Ὑψοῦντος παιδὸς Λυκάονος. τὸ ἐθνικὸν Θυραῖος ὡς Νυμφαῖος. καὶ Θυραιόθεν τοπικῶς.

78 Θυρέα· περὶ ἧς Ἀργεῖοι καὶ Λακεδαιμόνιοι ἐπολέμησαν. ἔστι δὲ τῆς Κυνουρίας γῆς, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς. λέγεται καὶ πληθυντικῶς. <καὶ> κατὰ συναίρεσιν Θυρῆ. οἱ οἰκοῦντες Θυρεᾶται ὡς Τεγεᾶται, καὶ θηλυκῶς Θυρεᾶτις. ἔστι καὶ Ἀκαρνανίας Θύριον διὰ τοῦ ι. τὸ ἐθνικὸν Θυριεύς ὡς Σουνιεύς. Ἀνδροτίων (FGrHist 324 F 65) δὲ Θούριος φησί.

79 Θυσσαγέται· ἔθνος παρὰ τὴν Μαιῶτιν λίμνην, ὡς Ἡρόδοτος (4,22,1 et 123,3).

80 Θώκνεια· πόλις Ἀρκαδίας, ἀπὸ Θώκνου. Παυσανίας η̅ (8,29,5; cf. 8,3,2 et 27,4). ὁ πολίτης Θωκνεύς.

81 Θῶνις· πόλις Αἰγύπτου, ἀπὸ Θῶνος βασιλέως τοῦ ξενίσαντος
321 Μενέλαον. κεῖται δὲ κατὰ τὸ στόμα τὸ Κανωβικόν. ὁ πολίτης Θωνίτης.

82 Θώραξ· πόλις Αἰτωλίας. ἔστι καὶ Μαγνησίας. τὸ ἐθνικὸν Θωρακίτης.

---

76 de insula Θυνιάς cf. e.g. Ps.-Scyl. 92 (75); Str. 12,3,7 (C 543,17); Ptol. Geog. 5,1,15 (5,1,3); sed A. R. 2,350 νήσου Θυνηίδος; Sch. ad loc. Θυνιάδος νήσου; A. R. 2,672 νήσου … | Θυνιάδος; Sch. ad loc. Καλλισθένης δὲ ἐν τῷ Περίπλῳ (FGrHist 124 F 7) ὑπὸ μὲν Ἑλλήνων φησὶ προσαγορεύεσθαι τήν τε χώραν καὶ τὴν νῆσον Θυνιάδα, ὑπὸ δὲ τῶν βαρβάρων Θυνίαν de promontorio Ps.-Scymn. 728 ἄκρα … Θυνιάς; Str. 12,3,3 (C 541,32); Arr. Peripl. M. Eux. 24,6 Herodor. FGrHist 31 F 48 Θυνίδι νήσῳ; Memn. FGrHist 434 F 1,9,4 Θυνίδα γῆν **77** e Paus. 8,3,3; cf. etiam 8,35,7 **78** Th. 4,56,2 ἐπὶ Θυρέαν, ἥ ἐστι μὲν τῆς Κυνουρίας γῆς καλουμένης, μεθορία δὲ τῆς Ἀργείας καὶ Λακωνικῆς; cf. 2,27,2 ἡ δὲ Θυρεᾶτις γῆ μεθορία τῆς Ἀργείας καὶ Λακωνικῆς ἐστίν, ἐπὶ θάλασσαν καθήκουσα; de proeliis Argivorum cum Lacedaemoniis commissis cf. Th. 5,41,2; 6,95,1; cf. etiam Hdt. 1,82,1 f. ἔρις … περὶ χώρου καλεομένου Θυρέης. τὰς γὰρ Θυρέας; Str. 8,6,17 (C 376,20) Θυρέας (Xylander, -ραίας codd.) …· περὶ ὧν Ἀργείοις καὶ Λακεδαιμονίοις συνέστη ἀγών …· εἶναι δέ φησι τὸ χωρίον τοῦτο Θουκυδίδης ἐν τῇ Κυνουρίᾳ κατὰ τὴν μεθορίαν τῆς Ἀργείας καὶ τῆς Λακωνικῆς **80** Paus. 8,29,5 ἐπὶ Θωκνίαν …, τὸ ὄνομα ἀπὸ Θώκνου τοῦ Λυκάονος ἔχουσαν **81** fons probabiliter Str. 17,1,16 (C 800,31) de re cf. Hdt. 2,113–115; Sch. ad δ 228 (= Hellanic. FGrHist 4 F 153 = fr. 153 Fowler); Eust. ad δ 228 (I 162,1)

---

76 2 Ψωφίδιος Holste: ψοφόδιος RQPN Θυνή et Θυνίς Meineke: θύνη et θύνις QPN, R sine acc. ut vid. **78** 1 ἔστι δὲ καὶ N 2 Κυνουρίας Salmasius: καιναργείας R, καιναργίας QPN μεθυρία RQ λακωνικῆς RQ: λακεδαιμονίας PN 3 καὶ add. Holste (cf. Schubart [1843] 196) Θυρῆ Schubart (1843) 196: θύρη RQPN 3–4 θυρεάται et τεγεάται PN 4 θηλυκὸν R Θυρεᾶτις Westermann: θυραιᾶτις R, θυρεάτις QP, θερεάτις N Θύριον Meineke (cf. Hdn. 1,359,17): θυρίον RQPN 6 θούριος RQPN (cf. D. H. 1,51,2): Θύριος dub. Meineke (sed cf. Jacoby ad FGrHist 324 F 65) **79** παρὰ R: περὶ Q(per comp.)PN **81** 1 ἀπὸ θώνου R βασιλέως om. R 2 τὸ ante στόμα add. Ald. post **82** τέλος τοῦ ιθ̅ βιβλίου add. RP

76. Thynias, Insel nahe der Einfahrt ins Schwarze Meer[83] und ein Kap. Das Ethnikon <lautet> Thyniadier, <gebildet> wie Psophidier, und Thyniadeer. <Die Insel> heisst auch Thyne, Thynis und Thyneïs.[84]

77. Thyraion, Stadt der Arkader, Gründung des Lykaonsprosses Hypsos. Das Ethnikon <lautet> Thyraier, <gebildet> wie Nymphaier. Und als Topikon verwendet man ‚aus Thyraion' (Θυραιόθεν).

78. Thyrea, <Stadt>, um welche Argiver und Lakedaimonier Krieg führten. Sie befindet sich in der Landschaft Kynuria, im Grenzgebiet des Argivischen und Spartas.[85] Man sagt auch <Thyreai> im Plural. Durch Vokalkontraktion <heisst sie> Thyre. Die Einwohner <heissen> Thyreaten, <gebildet> wie Tegeaten, und im Femininum Thyreatidin. Es gibt auch in Akarnanien ein Thyrion,[86] mit ι <geschrieben>. Das Ethnikon <lautet> Thyrieer, <gebildet> wie Sunieer. Androtion (FGrHist 324 F 65) sagt Thurier.

79. Thyssageten, Volk bei der Maiotissee, wie Herodot (4,22,1 und 123,3) <angibt>.

80. Thokneia, Stadt in Arkadien,[87] nach Thoknos <benannt>. Pausanias <erwähnt sie> im achten Buch (8,29,5; vgl. 8,3,2 und 27,4). Der Bürger <heisst> Thokneer.

81. Thonis, Stadt in Ägypten, nach Thon <benannt>, dem König, der Menelaos als Gast beherbergt hatte. Sie liegt bei der kanobischen Mündung. Der Bürger <heisst> Thonit.

82. Thorax, Stadt in Aitolien.[88] Es gibt auch in Magnesien <eine Stadt dieses Namens>. Das Ethnikon <lautet> Thorakit.

---

[83] Die östlich des Bosporus gelegene Insel war auch unter dem Namen Apollonia bekannt, vgl. Plin. nat. 6,32.

[84] Zu den unterschiedlichen Namensformen s. RE VI A 1,718,8. Der Artikel scheint bei der Epitomierung durcheinander geraten zu sein; die Ableitung Θυνιάδιος ὡς Ψωφίδιος ist verkürzt. Für das Toponym Θυνιάς erwartet man eine Reihung wie Ἀρκάς Ἀρκάδος Ἀρκάδιος, während Ψωφίδιος wohl eher für ein Toponym Θυνίς in Frage kommt; zum Kanon vgl. St. Byz. 704,22.

[85] Inventory Nr. 346.

[86] Inventory Nr. 139 mit einer Liste der Namensvarianten.

[87] Inventory S. 508.

[88] Inventory S. 388.

I

Meineke

321 **1 Ἴαβις**· πόλις, ὡς Ἰώσηπος (AJ 6,71). λέγεται καὶ Ἰαβισός. <τὸ> ἐθνικὸν τῆς Ἰάβιδος Ἰαβιδίτης, τῆς δὲ Ἰαβισοῦ Ἰαβισηνός.

2 Ἰαγξούατις· πόλις Λιβύων. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 346). ὁ πολίτης Ἰαγξουατίτης· Αἰγυπτίων γὰρ καὶ Αἰθιόπων ὁ χαρακτήρ.

3 Ἰαζαβάται· ἔθνος Μαιωτῶν, οὓς Σαυρομάτας φησὶν Ἔφορος (FGrHist 70 F 160b).

4 Ἰάζυγες· ἔθνος Εὐρωπαῖον, ὡς Μαρκιανὸς ἐν Περίπλῳ (2,38 [GGM 1,558,24]).

5 Ἰάθριππα· πόλις Ἀραβίας πλησίον τῆς Ἔγρας. ὁ οἰκήτωρ Ἰαθριππηνός· ἐπιχώριος γὰρ ὁ τύπος, ὡς Μηδαβηνός.

6 Ἰαιτία· πόλις Σικελίας. Φίλιστος Σικελικῶν β̅ (FGrHist 556 F 12). τὸ ἐθνικὸν Ἰαιτῖνος.

7 Ἰάλυσος· πόλις ἐν Ῥόδῳ καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ. ὁ πολίτης Ἰαλύσιος καὶ Ἰηλύσιος καὶ Ἰαλυσιάς.

8 Ἰάμαι· ἔθνος Σκυθικόν. Ἑκαταῖος Ἀσίᾳ (FGrHist 1 F 215).

---

1 J. AJ 6,71 Ἰαβὶς, sed accentus incertus, cf. LXX Jd. 21,8ss. Ιαβις Γαλααδ; LXX 1 Ki. 11,1,9; 31,12 Ιαβις; cf. Eus. On. 32,5 Ἰάβις; etiam 110,11 Ἰαβεῖς Γαλαάδ   de forma ‚Iabisus' cf. J. AJ 6,375 οἱ ἐν Ἰάβει (v.l. ναβεῖ vel ἰαβεισσῶ vel ἰαβισσῶ) πόλει τῆς Γαλααδίτιδος κατοικοῦντες; sed cf. 7,8 ἐν Ἰαβησῷ (v.l. ἰαβεισῶ vel ἰαβισῶ); 6,376 εἰς Ἰάβησαν; 5,164 Ἰάβησον (v.l. ἰάβεισον vel ἰάβισον)   gentilia apud J. AJ 5,168 παρθένους τὰς Ἰαβίτιδας; 6,74 (bis) τοὺς Ἰαβισηνοὺς; 6,377 Ἰαβησηνοὶ   **3** nomen diverse traditur, Ps.-Scymn. fr. 16 Marcotte μετὰ τοὺς Σαρμάτας Μαιωτῶν γένος Ἰαζαματῶν; Ptol. Geog. 5,9,16.17 (5,8,10.12) Ἰαξαμάται; Polyaen. 8,55 εἰς τοὺς καλουμένους Ἰξομάτας; cf. etiam St. Byz. ι 71 Ἰξιβάται   **5** Ptol. Geog. 6,7,31 Λαθρίππα (Λαθρέπτα)   **6** D. S. 22,10,4 πρὸς τὴν Ἰαιτίνων πόλιν; 23,18,5 Ἰαιτῖνοι   **7** Eust. ad Β 656 (I 490,6) ὁ δὲ τὰ Ἐθνικὰ συλλέξας καὶ Σικελικὴν πόλιν Λίνδον ἱστορεῖ, ὃς καὶ τὴν παρ' Ὁμήρῳ (Β 656) Ἰηλυσὸν Ἰαλυσὸν γράφει λέγων εἶναι καὶ ἐν Σκυθίᾳ καὶ ἐν τῷ Ἀδρίᾳ δὲ κόλπῳ Ἰαλυσόν

---

titulum ἀρχὴ τοῦ κ̅ στοιχεῖον τὸ ι ante Ἴαβις add. R, ἀρχὴ τοῦ ι Q, ἀρχὴ τοῦ κ̅ P, ἀρχὴ τοῦ ι στοιχείου N   **1** 1 τῆς Γαλαδίτιδος post πόλις add. Meineke (e Iosepho)   ὡς om. QPN   ἰαβισός R^{pc}(ex ἰαβη-)QPN (cf. similia): Ἰαβισσός Holste   τὸ add. Zubler   2 ἰαβισοῦ (ex -βη-) R^{pc}: ἰαβισσοῦ N, ἀβισσοῦ QP   ἰαβισηνός (ex -βη-) R^{pc}: ἰαβισσ- QPN   **2** 1 Ἀσίᾳ Ald.: ἀσίας RQPN   **3** Ἰαζαβάται Ald.: -τα RQPN   Μαιωτῶν Meineke (cf. St. Byz. α 451): μαιώταις R, παρὰ μαιώταις Q, παρὰ μαιώτ P (per comp.), παρὰ μαιῶτιν N, περὶ τὴν Μαιῶτιν λίμνην Billerbeck (cl. St. Byz. 135,15; 176,13; 320,22; 609,10)   **5** 1 ἔγρας (ex αἴ-) R^{pc} 1–2 Ἰαθριππηνός Berkel: -ιπη- RQPN   **6** 1 σικελικῶν PN: -κός RQ   **7** 1 Ἰάλυσος Holste: Ἰάλυσσος RQPN   τῷ PN: τῇ RQ   2 Ἰαλύσιος Meineke: -ύσσιος RQPN   ἰηλύσιος RQ: -ύσσιος PN   ἰαλυσιάς RQ: -υσσιάς PN   **8** Ἀσίᾳ Ald.: ἀσίας RQPN

I

1. Iabis, Stadt; Iosephos (AJ 6,71) <erwähnt sie>. Sie heisst auch Iabisos. Das Ethnikon zu Iabis <lautet> Iabidit, zu Iabisos Iabisener.[1]

2. Ianxuatis, Stadt der Libyer. Hekataios <erwähnt sie> in der *Asia* (FGrHist 1 F 346).[2] Der Bürger <heisst> Ianxuatit; denn <so lautet> die Ableitungsform der Ägypter und Äthiopier.[3]

3. Iazabaten, maiotisches Volk, das Ephoros (FGrHist 70 F 160b) Sauromaten nennt.

4. Iazygen, europäisches Volk, wie Markian im *Periplus* (2,38 [GGM 1,558,24]) <angibt>.

5. Iathrippa (Medina), Stadt in Arabien, nahe bei der Stadt Egra. Der Bewohner <heisst> Iathrippener; denn dieser Typus ist landesüblich, <gebildet> wie Medabener.[4]

6. Iaitia, Stadt auf Sizilien. Philistos <erwähnt sie> im zweiten Buch der *Sikelika* (FGrHist 556 F 12). Das Ethnikon <lautet> Iaitiner.

7. Ialysos, Stadt auf Rhodos;[5] auch <eine dieses Namens> in Skythien und an der Adria. Der Bürger <heisst> Ialysier und Ielysier, und <im Femininum> Ialysiadin.

8. Iamer, skythisches Volk. Hekataios <erwähnt es> in der *Asia* (FGrHist 1 F 215).

---

1 Offenbar ist Iosephos der einzige Autor, der die Form Ἰαβισός kennt und sowohl sie als auch das davon abgeleitete Ethnikon mit einfachem σ schreibt, wie auch die Hs R bei Stephanos.

2 Vgl. oben θ 60 mit Anm. 68.

3 Vgl. St. Byz. α 75 mit Anm. 99.

4 Zum arabischen (und allgemein asiatischen) Ableitungstypus vgl. z. B. St. Byz. α 5 (5,8); 430,11.

5 Inventory Nr. 995. Der Name Ialysos, handle es sich um den Heros oder um die Stadt, ist öfter als proparoxyton (z. B. Str. 14,2,12 [C 655,12 mit Radt ad loc.], Plu. Them. 21,4, Sch. Theoc. 17,68/69d, St. Byz. 591,18) denn als oxyton (z. B. Il. 2,656 [aber v.l. ἰήλ-]) überliefert.

9 Ἰάμνια· πολίχνιον Φοινίκης. Στράβων (16,2,28 [C 759,8]) δὲ
322 κώμην φησίν. ἀπὸ Ἰάμνου, ἢ ὅτι ἰάμνους ἐκάλουν τοὺς καθύγρους καὶ τεθηλότας τόπους. τὸ ἐθνικὸν ἔδει Ἰαμνιάτης. ἔστι δὲ Ἰαμνίτης καθ' ὕφεσιν τοῦ α. τὰ γοῦν καθ' ὕφεσιν τοῦ α διὰ διφθόγγου εἰσὶ πλὴν τοῦ Ἰαμνίτης καὶ τοῦ Δαυνίτης.

10 Ἴαμοι· Σκυθίας ἔθνος, ὡς Ἀλέξανδρος ἐν τῷ Περὶ Εὐξείνου πόντου (FGrHist 273 F 15) μυθολογεῖ.

11 Ἰαπίς· χαράδρα Ἀττικὴ εἰς Μέγαρα ἀπάγουσα, ὡς Καλλίμαχος Ἑκάλῃ (fr. 61 Hollis = fr. 306 Pfeiffer).

12 Ἰάποδες· ἔθνος Κελτικὸν πρὸς τῇ Ἰλλυρίᾳ, Διονύσιος ις̅ (vol. 4, p. 282 Jacoby).

13 Ἰαπυγία· δύο πόλεις, μία ἐν τῇ Ἰταλίᾳ καὶ ἑτέρα ἐν τῇ Ἰλλυρίδι, ὡς Ἑκαταῖος (FGrHist 1 F 86 et 97). τὸ ἐθνικὸν Ἰάπυξ καὶ Ἰαπύγιος καὶ Ἰαπυγία.

14 Ἰάρδανος· ποταμὸς Λυδίας. Ὅμηρος (Η 135 vel γ 292) „Ἰαρδάνου ἀμφὶ ῥέεθρα". οἱ οἰκοῦντες Ἰαρδάνιοι.

15 Ἰάς· Ἰλλυρίας μέρος. οἱ οἰκοῦντες Ἰᾶται. λέγεται καὶ Ἰωνικοί.

---

9 Str. 16,2,28 (C 759,8) κώμης Ἰαμνείας Zonar. p. 1080 Ἰαμνία· ὄνομα πόλεως. εὗρον καὶ διφθόγγως τὸ μνει de paenultima syllaba cf. Eust. ad Β 498 (I 405,20) (sc. Θέσπια) γράφεται δὲ κοινῶς διὰ τοῦ ι ἡ παραλήγουσα, ὡς τὸ Λάμια, Ἰάμνια **10** cf. supra ι 8 **11** cf. Ps.-Scyl. 56 **12** cf. Str. 4,6,10 (C 207,18) οἱ Ἰάποδες δέ – ἤδη τοῦτο ἐπίμικτον Ἰλλυριοῖς καὶ Κελτοῖς ἔθνος **13** Suid. ι 43 Ἰαπυγία· ὄνομα τόπου

---

9 3 Ἰαμνιάτης Holste (cl. St. Byz. 264,7 et 481,4): ἰαμνίτης RQPN καὶ ante Ἰαμνίτης add. N 3–4 καθύφεσιν (bis) Q 4 εἰσὶ om. R 5 Δαυνίτης Berkel: δαμνίτης R, δανίτης QPN, Δαυίτης Pinedo **10** 1–2 εὐξείνω πόντω Q **11** 2 Ἑκάλῃ Xylander (ἐκάλῃ Ald.): ἐκάλει RQ(ἑ-)PN **13** 1 πόλεις R: πόλις QPN 2 ἰάπυξ RQPN (cf. e.g. Theognost. An. Ox. 2,18,1; Phot. ι 8; Eust. D. P. 378 [p. 288,18]): Ἰᾶπυξ Meineke (cf. Antiph. fr. 137 Kassel/Austin [PCG II 386]; Choerob. GG IV 1,294,30) **14** 1 λυδίας RQPN: Ἠλείας susp. Holste 2 οἱ οἰκοῦντες Ἰαρδάνιοι om. R **15** ἰᾶται R: ἰάται QPN ἰωνικοί R: -κή Q(ut vid.)PN

